www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ
## ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ



# ΜΗΝΑ

Τύποις: ΧΡ. ΟΙΚΟΝΟΜΙΔΗ Πάφος Τηλ. 2563

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΜΗΝΑ

Ἀντεγράφη ἐκ τῆς παλαιᾶς φυλλάδος τοῦ Ἁγίου Μηνᾶ
ὑπὸ τοῦ Αἰδεσιμωτάτου
ΠΑΠΑΚΥΡΙΑΚΟΥ ΜΙΧΑΗΛ
ἐκ ΝΕΟΥ ΧΩΡΙΟΥ Πάφου

Τὴν 7ην Νοεμβρίου 1963

www.tezaurliturgic.ro

# ΕΝ ΜΗΝΙ ΝΟΕΜΒΡΙΩ ΙΑ΄.

Μνήμη τῶν Ἁγίων Μαρτύρων

## ΜΗΝΑ, ΒΙΚΤΩΡΟΣ ΚΑΙ ΒΙΚΕΝΤΙΟΥ

### Εἰς τὸν ἑσπερινόν.

Εἰς τὸ Κύριε ἐκέκραξα Ἱστῶμεν στίχους 6 καὶ ψάλομεν στιχηρὰ προσόμοια τῶν Μαρτύρων.

Ἦχος πλ΄. δ.΄ Ὢ τοῦ παραδόξου θαύματος.

Πάθος Μηνᾶ ἐκμιμούμενος, τοῦ ἀπαθοῦς σεαυτόν, ὡς ἀρνίον παρέδωκας, πρὸς σφαγὴν ἑκούσιον, ἀθλοφόρε πανεύφημε· θυμὸν ἀρχόντων οὐκ ἐδειλίασας· σαρκὸς αἰκίσεις οὐ καταινάρκησας, ὢ τῶν ἀγώνων σου, καρτερᾶς ἐνστάσεως! δι᾿ ὧν πρὸς γῆν, μάρτυς καταβέβληκας, τὸν ὑπερίφανον.

Μάστιξι καταξενόμενος, καὶ ἐπὶ ξύλου ὡς πρίν, ὁ Δεσπότης τυνόμενος καὶ σιδήρῳ πάντωθεν, τὰς πλευρὰς δαπανόμενος, οὐκ ἐξηρνίσω Χριστοῦ τὸ ὄνομα, πρὸς τοῦτο ἔχων ψυχῆς τὰ ὄμματα, ὢ συντωνότατα, ἀτενίζων Ἅγιε, τὰς τῆς σαρκός, ἔφερες ἐπίπονα, Μηνᾶ μακάριε.

www.tezaurliturgic.ro

8



Μάρτυς Μηνᾶ παναοίδιμε, τὴν τοῦ κόσμου ἀχλὺν, καὶ στρατείαν ἐπίκηρον, καὶ εἰδώλων σκότωσιν, ἀσεβῶν τὰ συνέδρια, τῇ ἀγαπήσει Χριστοῦ κατέλειπες, στρατολογίας συναριθμούμενος, τῶν ἐκλεκτῶν αὐτοῦ· ὅθεν καὶ ἀήττητος, παναληθῶς, μάρτυς ἀναδέδιξε, ὑπὲρ αὐτοῦ ἐναθλῶν. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐπὶ πέτραν τὴν ἄσιστον, στερεώσας ὁ Κύριος τῆς ἁγίας πίστεως, τὴν καρδίαν σου μάρτυς Μηνᾶ παναοίδιμε, ἰσχὺν ὑπερίσχηρον δέδωκε σοι· κατ᾽ ἐχθρῶν ἀδαμάντινον, δύναμιν, ῥῶσιν ἄρρικτον, ἐναθλήσας διόπερ ἐν σταδίῳ χαλεποῖς κολαστηρίοις, θριαμβευτὴς ἀναδέδειξαι.

Τὸ τρισάριθμον σύνταγμα, τῶν μαρτύρων ὑμνήσωμεν, τῶν πιστῶν κρατέωμα καὶ διάσωσμα τοὺς ἀθλοφόρους κραυγάζοντες, ἀήττητοι μάρτυρες διασώσαται ἡμᾶς ἀπὸ πάσης κακώσεως, Μηνᾶ ἔνδοξε σὺν συνάθλῳ τῷ θείῳ Βικεντίῳ καὶ τῷ Βίκτωρι ἀξίως ὡς τῷ Κυρίῳ θεράποντες.

Τῆς ἀθλήσεως ἔπαθλον, ἀθλοφόρε, θαυμάσιε τῷ λαμπρῶς ἀθλίσαντι καὶ νικίσαντι, τὸ τῶν ἀθλούντων πανάθλιον, ἐχθρῶν καὶ πολέμιον, σοὶ δωρεῖται ἀθλητὰ βασειλίαν οὐρανῶν, δόξαν ἄφθαρτον, ἀθλοφόρων ὁ μέγας, ἀθλοθέτης εἶδε γὰρ αὐτός, τοιαύτας ἀθλοθείας χαρίζεσθαι.

www.tezaurliturgic.ro



Δόξα καὶ νῦν. Ἦχος πλ. β΄.

Τῶν ἀθλητῶν τὴν καλλονήν, καὶ τῆς Αἰγύπτου κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ πρὸς Θεὸν πρεσβευτὴν εὐμενέστατον, συνελθόντες φιλομάρτυρες μελοδικὲς ὑμνῳδίες, τιμίσωμεν λέγωντες· χαίρεις τῶν ὀρθοδόξων φρουρὸς καὶ φύλαξ κρατεὺς καὶ τεῖχος ἀπροσμάχητον, χαίρεις ἀστὴρ τηλαυγέστατε, ὦ τὰ τοῦ κόσμου πέρατα· καταυγάζων τοῖς θαύμασι, χαίρεις τῶν λυπουμένων ὁ θεῖος παρακλήτωρ, καὶ ἀδικουμένων θερμότατος προστάτης· καὶ νῦν Μηνᾶ θαυμαστώτατε μὴ παύσῃ δεόμενος Χριστῷ τῷ Θεῷ ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐκτελούντων, τὴν πανέορτον καὶ σεβάσμιον μνήμην σου.

Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱδὲ εἰσὶν ἐν εἰρήνῃ καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χονευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψωσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Οἱ πεπηθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμένουν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν, λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὅπλον ποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κτίσιν ἀνυπόκρυτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπισκοπῶν ἀλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφθήσονται χάλαζαι ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλιμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικάσται περάτων γῆς ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους καὶ οἱ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι, παρὰ κυρίου ἡ κράτησις ἡμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

www.tezaurliturgic.ro



## Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τὶ ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνήδεισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

## Εἰς τὴν λιτήν, ἰδιόμελα ἦχος α'.

Μεγαλώνυμε τοῦ Χριστοῦ ἀθλητᾶ, Μηνᾶ γενναιότατε, σὺ ῥωμαλέος φρονίματι τὸν ὄντως Θεὸν ἐν σταδίῳ ἐκύρηξας τῶν παρόντων καταφρονήσας ὡς προσκαίρων, καὶ νῦν ἐν οὐρανοῖς, ἐπαγαλλόμενος, σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων, ἀπαύστως τὸν Χριστόν, ὃν υἱὸν Θεοῦ παρησία, ὁμολογήσας ἱκέτευε εἰρήνευε τὸν κόσμον, καὶ τοὺς ἐν σπλήνῃ νόσῳ διακειμένους ἴασαι· λυτρούμενος ἐκ παντίων κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ τιμῶντας, τὴν παναοίδημον μνήμην σου.

www.tezaurliturgic.ro



Ἀναλαβὼν τὴν πανοπλίαν τοῦ Χριστοῦ, Μηνᾶ μακάριε πρὸς τὴν πλάνην τοῦ ἐχθροῦ, ἐχώρισας ἀνδρικῶς, ὅθεν παντοδαπῶν κολάσεων εἴδεσι προσωμίλησας, καὶ διὰ πασῶν τούτων εἰς γῆν παντελῶς κατηδάφησας· καὶ τὸν στέφανον τῆς νίκης ἐκ χειρὸς Κυρίου, ὡς νικητὴς πανάριστος ἀπήλειφας· διό σου τὴν σεβάσμιον πανήγυριν ἐπιτελοῦντες οἱ πιστοὶ τὸν Σωτῆρα δοξάζομεν, τὸν ἀξίως σὲ δοξάσαντα.

Τῶν ἀθλητῶν τὸ ἐγκαλλώπισμα Μηνᾶς ὁ θαυμάσιος· ἐν τῷ σταδίῳ πάσχοντα τῷ τυρράνῳ ἔλεγε· δεινὰ μὲν τὰ παρόντα κολαστήρια ὦ δικαστᾶ, οὐ προκρίνω, δὲ ὅλος τῶν οὐρανῶν τὰ ἐπίγεια, ἀλλὰ χαίρων ἀπίω πρὸς τὸν ποθούμενον Χριστὸν οὗ ταῖς ἱκαισίαις σωτὴρ τὰ ἐλέη σου κατάλεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτοῦ ἐκτελοῦντας πιστῶς.

### Δόξα ἦχος πλ. α΄

Ἡ παμφαὴς σου σήμερον ἀνέτειλε μνήμη Μηνᾶ ἔνδοξε, ὡς ἥλιος τοῖς πέρασι, καὶ ἀπαύστως δαδουχεῖ τὰ ἱμάτια, νόσους ἀποσοβοῦσα ἀνθρώπων, καὶ πάθη σπληνῶν θεραπεύουσα, ἱκέτευε οὖν ἀεὶ ὡς ἰατρός, παρεστηκὼς τῷ θρόνῳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

### Καὶ νῦν ἦχος ὁ αὐτός.

Μακαρίζομέν σε θεοτόκε παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον τὸ τεῖχος τὸ ἄρρηκτον τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



### Εἰς τὰ ἀπόστιχα ἦχος δ΄.
### Ὡς γενναῖον ἐν μάρτυσιν.

Τοῖς τριβόλοις κεντούμενος, τοῖς βουνεύροις τυπτόμενος, τῷ πυρὶ τὸ σῶμα σου δαπανόμενος, οὐκ ἐξηρνήσω τὸ ὄνομα Χριστοῦ τὸ σωτήριον, οὐχ ἡττήθης λογισμῷ, οὐ ξοάνοις ἐπέθησας ἀλλὰ γέγονας, ἐθελόθητον θῦμα καὶ θυσία, καθαρά τε καὶ τελεία μάρτυς Μηνᾶ τῷ δεσπότῃ σου·

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὀφθαλμοὺς ἐκκεντούμενος, καὶ ἐν ξύλῳ κρεμάμενος, καὶ λαμπάσι πάντοθεν φλογιζόμενος, καὶ ἀπηνείᾳ διχάζοντος, τὰ νεῦρα τεμνόμενος, καὶ τῷ ξίφει κεφαλήν, ἀφαιρούμενος ἔχαιρες Βίκτωρ, ἔνδοξε, ἀθλητὰ τοῦ σωτῆρος ὁ νικήσας, τοῦ ἐχθροῦ τὰς παρατάξεις, τῇ συνεργείᾳ τοῦ πνεύματος.

Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστοσε, ὁ Κύριος.

Ἐστεφάνωσε Κύριος τῶν χαρίτων στεφάνων, Μηνᾶν τὸν πολύαθλον· σὺν Βικεντίῳ καὶ Βίκτωρι, ἑκουσίως γάρ, τοῖς βασάνοις δεδόντασι ψυχῆς γενναιότητι· ὑπὲρ Χριστοῦ ἀγωνίσθησαν, προσδεθέντες τῷ πυρί, καὶ πρὸς Θεὸν ὡς στρουθία ἐν χερσὶ καταλιπόντες, τοὺς τυράννους γενναιότατοι.

### Δόξα Ἦχος πλ. β΄

Πάλιν ἡμῖν ἡ ἐτήσιος μνήμη, τῶν τοῦ κόσμου φωστήρων ἀνέτειλε Μηνᾶ τε καὶ Βίκτωρος καὶ Βικεντίου, τῶν πιστῶν τὰς καρ-

www.tezaurliturgic.ro



δίας φωτίζουσα, τοῖς ὑπὲρ Χριστοῦ διὰ σταυροῦ αὐτῶν ἀγωνίσμασι, διὸ τὸν ἐν δόξῃ καὶ τιμῇ στεφανόσαντα αὐτούς, Χριστὸν τὸν Θεὸν ἡμῶν, ὕμνοις τιμήσωμεν.

Καὶ νῦν· Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα. μὲ τὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ ἁγίου ἦχος δ΄

Τὸν τύραννον ἤσχυνας ἀνδριοφρόνως στερρέ, εἴδωλα, κατεπάτησας, καὶ τὰ ἐν Βίῳ τερπνά, Μηνᾶ πανμακάριστε· εἴληφας τοὺς στεφάνους διὰ τοῦ μαρτυρίου, ἔτυχες κληρουχίαν παρὰ τοῦ μόνου δεσπότου, διὸ ἐν παρρησίᾳ Χριστῷ, πρέσβευε, σωθῆναι ἡμᾶς.

Δόξα. τὸ αὐτὸ Καὶ νῦν Θεοτοκίον.
Τὸ ἀπαιῶνος ἀπόκρυφον.
Ἕτερον ἀπολυτίκιον τοῦ Ἁγίου Μηνᾶ.

Μαρτύρων ἀγλάϊσμα Μηνᾶ σοφέ, ἀληθῶς ἐδίχθης μακάριε ἰατρὸς ἄμισθος τοῖς πίστει προστρέχουσι πόθῳ ἐν τῷ πανσέπτῳ καὶ ἁγίῳ ναῷ σου, ἴασιν νοσημάτων καί παντοίων κινδύνων παρέχεις ἀενάους ἀθλητὰ ταῖς ἱκεσίαις σου.

Εἰς τὸν Ὄρθρον καθίσματα εἰς τὴν α΄ στιχολογίαν.
Ταχὺ προκατάλαβε ἦχος δ΄

Ἀσκήσει ἐλάμπρυνας τὸ ὀπτικὸν τῆς ψυχῆς, ἀκτίσι ἀθλήσεως φωταγωγεῖ τοὺς πιστούς, Μηνᾶς ὁ θαυμάσιος, ὅθεν τὴν παναγίαν

www.tezaurliturgic.ro



καὶ σεπτὴν αὐτοῦ μνήμην, πίστει ἐπιτελοῦντες ἐκβοήσωμεν, πάντες ὡς ἔχων παρησίαν πρὸς Χριστόν, πρέσβευε μάρτυς σωθῆναι ἡμᾶς.

**Δόξα. Τὸ αὐτό, Καὶ νῦν. Θεοτοκίον.**

Ταχὺ δέξαι Δέσποινα ταῖς ἱκεσίαις ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ υἱῷ καὶ Θεῷ Κυρία πανάχραντε, λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας καὶ τὰ θράση Παρθένε τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

**Ἕτερον. ὁ Ὑψωθὴς ἐν τῷ Σταυρῷ.**

Τοὺς τῶν τριβώλων σπαραγμοὺς ἐγκαρτερίσας, καὶ τοῦ πυρὸς τὴν χαλεπὴν τιμωρίαν, μαρτυρικῶς ἠγώνισαι, πανόλβιε στέφος ἀμαράντινον ἐκ Θεοῦ ἐκομίσω, τούτῳ, παριστάμενον σὺν ἀγγέλων χωρείαις, ὃν ἐκδισώπει, σώζεσθαι ἡμᾶς Μηνᾶ παμμάκαρ, τοὺς πόθῳ ὑμνούντας σε.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπίσωμεν ἀεὶ Θεοτόκε τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι εἰ μὴ γάρ, σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρήσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντίων δεινῶν.

**Μετὰ τὸν πολυέλεον. Κάθισμα πρὸς τὸ ἐπεφάνης σήμερον.**

Ἐν τῷ ὕψει ὁ Κύριος τῆς ἐκκλησίας, ἀληθῶς σὲ ἔθετο ὥσπερ ἀστέρα φαεινόν, φωταγωγοῦντα τοὺς ψάλλοντας, κλέος μαρτύρων Μηνᾶ παναοίδιμε.

www.tezaurliturgic.ro



Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Εὐφροσύνης σήμερον ἡ οἰκουμένη, ἐπληρώθη, ἅπασα, ἐν τῇ εὐσήμῳ ἑορτῇ τῆς Θεοτόκου κραυγάζουσα, αὕτη ὑπάρχει σκηνὴ Ἐπουράνιος.

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἦχου. Προκείμενον. ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τὸ πᾶσα πνοή.

Εὐαγγέλιον τοῦ ὄρθρου· ἐκ τοῦ κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς προσέχετε ἀπὸ τῶν ἀνθρώπων.(23 Απριλίε

**Ὁ Ν.΄ Δόξα ταῖς τῶν σῶν Μαρτύρων Καὶ νῦν Ταῖς τῆς Θεοτόκου Στίχος. ἐλέησόν με ὁ Θεός. ἰδιόμελον ἦχος πλ. Β΄.**

Δεῦτε ἅπαντες πιστοὶ συνελθόντες εὐφημήσομεν Μηνᾶν τὸν ἀήττητον μάρτυρα, οὗτος γὰρ τὴν ἐπίγειον στρατειὰ ἀπόσατο, τὸ ὅπλον τοῦ Σταυροῦ ἐνδυσάμενος, Χριστῷ ἠκολούθησε, καὶ τῆς ἀπεράντου βασιλείας, τῶν οὐρανῶν ἠξιώθην ἀπολαυεῖν ὡς πιστὸς δοῦλος Θεοῦ.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Τὸ Κύριε ἐλέησον 12. Ἐλέει καὶ οἰκτιρμοῖς

**Ὁ κανὼν τοῦ ἁγίου καὶ τῆς ἡμέρας.**

**Ὠδὴ α΄. ἦχος δ΄, καταβασίαι Ἀνοίξω τὸ στόμα μου.**

Τιμῶντι τὴν μνήμην σου, καὶ τοὺς γενναίους ἀγῶνας σου, Μηνᾶ πανασίδιμαι, αἴγλην ἐξ ὕψους μοι, φωτοδότιδα, πεμφθῆναι ἐκδισώπει, τὸ νέφος διόκουσαν τῆς ἀγνωσίας μου.

www.tezaurliturgic.ro



Ἰδεῖν ἐφιέμενος, ἀθανασίαν τὴν μέλλουσαν, θανεῖν τιμωρούμενος, μάρτυς ἠγάπησας, τοῦ τὸν θάνατον θανάτῳ καθελόντος, τὸ πάθος μιμούμενος, Μηνᾶ μακάριε.

Μὴ φέρων ἀοίδιμε, Θεὸν ὁρᾶν ὑβριζόμενον, ἐμάκρυνας, ὄρεσιν ἐνδιαιτώμενος, καὶ πρὸς ἄθλησιν, σαὐτὸν καὶ πρὸς ἀγῶνας, γυμνάζων οὓς ἤνυσας, γνώμης στερρότητι.

### Θεοτοκίον.

Ὡς ἔμψυχος τράπεζα, ἄρτον χωρεῖς τῆς ζωῆς ἡμῶν, ὡς βάτος βαστάσασα, οὐ κατεφλέχθης τὸ πῦρ, καὶ ὡς ἄμπελος ἀπότιστος βλαστάνεις τὸν βότρυν πανάμωμε, τὸν ἀγεώργητον.

### Ὠδὴ γ΄.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα ἀλλ᾽ ἐν σοὶ τῇ τοῦ πατρὸς ἐνυποστάτῳ σοφίᾳ Χριστέ, οὐ γάρ ἐστιν ἅγιος πλὴν σοῦ φιλάνθρωπε.

Σεσοβημένος τοῖς πανσόφοις σου λόγοις ὁ τύρανος σὲ μαστίζει ἀφειδῶς, ὠμοῖς βουνεύροις οἰόμενος τούτοις κατακάμπτειν σε, Μηνᾶ μακάριε.

Ἐνατενίζων νοεροῖς ὀφθαλμοῖς πρὸς τὸν Κύριον, τῆς σαρκὸς τὰ δυσαχθῆ, βασάνων βάρη ὑπέφερες γνώμης γενναιότητι Μηνᾶ θαυμάσιε.

Μὴ δειλιάσας τῶν βασάνων τὸ λίαν ἐπίπονον πνέων ζήλου θεϊκοῦ πρὸς τοὺς ἀγῶνας ἐχώρησας, κράζων μὴ ζητούμενος ἦλθον αὐτόκλητος.

www.tezaurliturgic.ro



### Θεοτοκίον.

Ἅδου πυλῶν με ἐκ σοῦ σαρκωθεὶς ἀνηγάγετο ξύλου βρώσει πονηρᾷ θανατωθέντα πανάμωμε θάνατον ἑκούσιον καταδεξάμενος.

### Κάθισμα τοῦ μάρτυρος Ἦχος πλ. δ΄. πρὸς τὴν σοφίαν καὶ λόγον.

Ἡ τὸ πρὶν ἀγνωσίας σκότει δεινῷ κρατουμένη, θεόφρων Μάρτυς Μηνᾶ, Αἴγυπτος ἀνέτειλε σὲ φωστῆρα, παγκόσμιον, ἀθεΐας νύκτα συντόνως ἐλαύνοντα τοῖς βολίσι μάκαρ τῶν θείων ἀγώνων σου· ὅθεν τὴν φωσφόρον καὶ σεπτήν σου ἡμέραν φαιδρῶς ἑορτάζοντες, ἐκτενῶς σοι κραυγάζοντες· ἀθλητῶν ἐγκαλλώπισμα, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθω τὴν ἁγίαν μνήμην σου.

### Δόξα τὸ αὐτό.

### Καὶ νῦν Θεοτοκίον.

Τὴν ψυχήν μου παρθένε τὴν ταπεινὴν τὴν ἐν ζάλη τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον ποντουμένην τῷ κλύδωνι ἁμαρτιῶν τε φόρτῳ φανεῖσαν ὑπέραντλον καὶ εἰς πυθμένα ἅδου πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε τῇ θερμῇ πρεσβείᾳ καὶ σῶσον παρέχουσα σὸν λιμένα τὸν εὔδιον ἵνα πίστει κραυγάζω σοι. Πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ τῶν πταισμάτων δοῦναι μοι, τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλος σου.

### Ὠδὴ δ΄.

Ὁ καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου θεότητος ἐν νέφελῃ κούφῃ ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος τῇ ἀκυράτῳ παλάμῃ καὶ διέσωσε τοὺς

www.tezaurliturgic.ro



κραυγάζοντας· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ραντισμῷ σου τῶν αἱμάτων κατασβέσθησαν ἄνθρακες τῆς πολυθεΐας, φάλαγξ τῶν δαιμόνων βεβύθυσται, ἡ τοῦ Χριστοῦ ἐκκλησία κατηρδεύθη δὲ ἀθλοφόρε παμίκαρ, Μηνᾶ ἀξιάγαστε.

Τῇ ἐν ξήλῳ ἀναρτήσει εἰκονίζεις τὸ πάθημα τοῦ σταυροῦ τὸν ὄφιν, μάρτυς ὑπομένεις τοὺς ξεσμούς, προξενοῦντας σοι ἀπολαύσεις τὰς ἐν οὐρανοῖς γενναιότατε.

**Θεοτοκίον.**

Σαρκωθέντα ἀπορρήτως τὸν Θεὸν ἀπεκύησας ἐκ τῶν σῶν αἱμάτων, οἶκον ἑαυτῷ δορησάμενον τὸν ἐν δυσὶ ταῖς ουσίαις καὶ θελήσεσι γνωριζόμενον, θεοπρεπῶς ἀπειρόγαμε.

**Ὠδὴ ε΄.**

Ἀσεβεῖς οὐκ ὄψονται τὴν δόξαν σου Χριστέ, ἀλλ' ἡμεῖς σὲ μονογενὲς πατρικῆς ἀπαύγασμα δόξης θεότητος ἐκ νυκτὸς ὀρθρίζοντες, ἀνυμνοῦμεν σε φιλάνθρωπε.

Μαρτυρίου ἤστραψας φαιδρῶς μαρμαρυγαῖς τὴν ζοφερὰν ἀθεΐαν πάνσοφε καὶ κατεφώτισας τῶν πιστῶν πληρώματα, ἀθλητὰ Μηνᾶ πανεύφημε.

Ἠφανίσθη ἅπασα ἐπίνεια ἐχθρῶν τῇ στερρᾷ σου ὑπομονῇ Οὔλιμος οὐ μάστιγες οὐδὲ κατάφλεξις, οὐ τριβόλων κακώσις, σοῦ τὸ πρόθυμον ἠμαύρωσεν.

**Θεοτοκίον.**

Νεουργεῖ φθαρέντα με τικτόμενος ἐκ σοῦ, ὑπὲρ φύσιν

www.tezaurliturgic.ro



ὁ λυτρωτὴς παλαιὰς κατάρας μὲ ἐκλυτρωσάμενος, Θεομήτωρ ἄχραν τε ὃν ἱκέτευε σωθῆναι ἡμᾶς.

Ὠδὴ στ'.

Ἐβόησε προτυπῶν τὴν ταφὴν τὴν τριήμερον ὁ προφήτης Ἰωνᾶς ἐν τῷ κήτει, δεόμενος· ἐκ φθορᾶς μὲ ρῦσαι Ἰησοῦ βασιλεῦ τῶν δυνάμεων.

Παρίστασο πρὸ βημάτων τυράννων κρινόμενος καὶ τὴν πλάνην στηλιτεύων Μηνᾶ παναοίδιμε σεαυτὸν δὲ στήλην εὐσεβείας πιστοῖς παρεχόμενος.

Ἱδρῶτι σου τῶν ἀφώνων τὴν πλάνην ἐξήρανας τῶν εἰδώλων σεαυτὸν δὲ ναὸν ᾠκωδόμησας τῆς σεπτῆς Τριάδος, ἀθλοφόρε Μηνᾶ ἀξιάγαστε.

Θεοτοκίον.

Ἰάτρευσον τά ἀνίατα πάθη πανάμωμε τῆς ψυχῆς μου τῇ μοτώσει τῆς σῆς ἀγαθότητος, ἀγαθὸν σωτῆρα τὸν Χριστὸν τοῖς ἐν κόσμῳ κυήσασα.

Κοντάκιον τοῦ μάρτυρος Ἦχ. δ'.
πρὸς τὸ ἐπεφάνης σήμερον.

Τῆς στρατείας ἥρπασε τῆς ἐπικύρου καὶ ἀφθάρτου ἔδειξε σὲ ἀθλοφόρε κοινωνὸν Μηνᾶ Χριστὸς ὁ Θεὸς ἡμῶν. Ὁ τῶν μαρτύρων ἀκήρατος στέφανος.

Ὁ Οἶκος.

Μεγάλης πρόξενος ἡμῖν ὑπάρχει θυμηδίας ἡ μνήμη τῶν

www.tezaurliturgic.ro



μαρτύρων κατὰ παθῶν ἀνδρείαν καὶ ἀριστείαν κατ' ἐχθρῶν ἐπιδεικνυμένη ἐν φαιδρᾷ καὶ προσηνεῖ ὁμολογίας χάριτι· δεῦτε οὖν ἐν ταύτῃ φιλέορτοι πάντες εὐφρανθῶμεν τῆς προσκαίρου εὐφροσύνης τὴν κρείττονα καὶ τελειοτέραν Μηνᾶ τοῦ ἀθλητοῦ τὴν μνήμην τελοῦντες καὶ λαμβάνοντες παθῶν δῶρον τὴν λύσιν. Τούτων δὲ δωτὴρ Χριστὸς ὁ Θεὸς ὑπάρχει, ὁ τῶν μαρτύρων ἀκήρατος στέφανος.

### Συναξάριον.

Τῇ ΙΑ'. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου Μεγαλομάρτυρος Μηνᾶ τοῦ ἐν τῷ Κοτυαείῳ. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Βικεντίου τοῦ διακόνου. καὶ Βίκτωρος

### Στίχοι.

**Αἴγυπτος ὄντως, εἰ τέκοι, τίκτει μέγα.**

**Τιμηθεὶς ἀληθὲς τοῦτο Μηνᾶς δεικνύει.**

**Μηνᾶς ἑνδεκάτῃ, ἔτλη ξίφος γηθόσυνος κῆρ.**

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, στρατευόμενος ἐν τοῖς Νουμέροις (στρατιωτικοῖς τάγμασι), τοῖς λεγομένοις Ρουταλικοῖς, ὑπ' Ἀργυρίσκῳ ἡγεμόνι, ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας (ὑγιεινῆς). Μὴ ἀνεχόμενος δὲ καθορᾶν τὴν τῶν εἰδώλων πλάνην παρρησιαζομένην, εἰς τὸ ὄρος ἀνῆλθε, νηστείαις ἑαυτὸν καθαίρων καὶ προσευχαῖς. Ἱκανῶς δὲ στομώσας ἑαυτόν, καὶ τῷ θείῳ πόθῳ τοῦ Χριστοῦ τὴν ψυχὴν ἀναφλέξας, ἐκ τοῦ ὄρους κατῆλθε. Καὶ στὰς ἐν μέσῳ τῶν εἰδωλολατρῶν, τὸν Χριστὸν ἀνεκήρυξεν. Ὅθεν αἰκισθείς, καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας καταξανθείς, καὶ καυτῆρσι προσομιλήσας πυρός, καὶ τριβόλοις, ἐν τῷ ἀφειδῶς ἕλκεσθαι, ἅπαν τὸ σῶμα διαλωβηθείς, τὴν διὰ ξίφους δέχεται τελευτήν.

www.tezaurliturgic.ro



## Διήγησις τινῶν ἐκ τῶν θαυμάτων αὐτοῦ.

Ποτὲ τις ἀπερχόμενος ἐν τῷ ναῷ τούτου προσεύξασθαι, ἐδέχθη παρά τινος εἰς μονήν. Καὶ ἐπεὶ ὁ πανδοχεὺς ἔγνω τὸν ὑποδεχθέντα ἐγκόλπιον φέρειν χρυσοῦν, ἀναστὰς ἐν μέσῳ τῆς νυκτός, φονείᾳ χειρὶ τοῦτον ἐπέθετο· καὶ μεληδὸν κατακόψας, εἰς σπυρίδα ἐνέβαλε, καὶ ἀπηώρησε, τὴν ἔω ἐκδεχόμενος· καὶ ἦν λοιπὸν ἐναγώνιος, ὅπως τε καὶ ποῦ ἀπαγάγῃ, ἐν ἀφανεῖ τόπῳ κατακρύψαι βουλόμενος. Καὶ ὡς ἐν τούτοις ἦν ἡ μελέτη, ὁ Ἅγιος τοῦ Χριστοῦ Μάρτυς, ἔφιππος ὡς ἐν τάξει στρατιώτου ἀναφανείς, περὶ τοῦ ἐκεῖσε καταλύσαντος ἠρεύνα ξένου. Τοῦ δὲ φονέως μηδὲν γιγνώσκειν διαβεβαιουμένου, τοῦ ἵππου ἀποβὰς εἰσῆλθεν ἐν τῷ ἐνδοτέρῳ οἰκήματι. Καὶ καταγαγὼν τὴν σπυρίδα, τί ἐστι τοῦτο φησίν; Ὁ δέ, ὥς περ ἔκπληκτος γενόμενος ὑπὸ τοῦ δέους τοῖς ποσὶ τοῦ Ἁγίου πτῶμα δεινὸν ἑαυτὸν κατέβαλε. Τὰ γοῦν κατατμηθέντα μέλη ὁ Ἅγιος συναρμολογήσας, καὶ προσευχόμενος, ἀνέστησε τὸν νεκρόν, εἰπών. Δὸς δόξαν τῷ Θεῷ. Ὁ δέ, ὡς ἐξ ὕπνου ἀναστάς, καὶ κατανοήσας ὅσα καὶ οἷα ἔπαθε παρὰ τοῦ ὑποδεξαμένου, ἐδόξασε τὸν Θεόν. Καὶ τῷ φαινομένῳ σρατιώτῃ εὐχαριστήσας, τὴν προσκύνησιν ἐδίδου.

Ἀναστάντος δε αὐτοῦ, ὁ Ἅγιος τὸν χρυσὸν ἀπὸ τοῦ φονέως λαβών, δοὺς αὐτῷ ἔφη· Τὴν ὁδόν σου πορεύου. Τὸν δὲ φονέα ἐπιστραφείς. τύψας ὡς εἰκὸς καὶ κατηχήσας, προσέτι καὶ τὴν ἄφεσιν τοῦ ἐγκλήματος χαρισάμενος καὶ ὑπὲρ ἐκείνου προσευξάμενος τοῦ ἐπιφαινομένου πάλιν ἵππου αὖθις ἐπιβάς, ἀπέπτη ἀπὸ τῶν ὀλφθαμῶν αὐτοῦ. Ἕτερος δέ τις, δίσκον ἐξ ἀργύρου τῷ Ἁγίῳ ἐπαγγειλάμενος, παραβαλὼν τῷ τεχνίτῃ δύο τούτῳ κατασκευάσαι δίσκους ὑπέθετο καὶ ἐπιγράψαι ἐν μὲν τῷ ἑνὶ τὸ τοῦ Ἁγίου ὄνομα, ἐν δὲ τῷ ἑτέρῳ τὸ ἑαυτοῦ. Κατασκευασθέντων οὖν τῶν δίσκων, ἐπεὶ χαριέστερός τε καὶ λαμπρότερος ὁ τοῦ Ἁγίου ἐδείκνυτο, τῆς ἐπιγραφῆς μηδοπωσοῦν μελήσας, ἑαυτῷ τοῦτον προσήρμοσε. Τοίνυν καὶ κατὰ θάλασσαν διὰ τοῦ πλοὸς τὴν πορείαν ποιούμενος, καὶ ἐν τῇ νηῒ τοῦ δείπνου διὰ τοῦ ἐξυπηρετοῦντος αὐτῷ εὐτρεπισθέντος, τὰ παρατεθέντα ἐν τῷ τοῦ Ἁγίου δίσκῳ ἀνυποστόλως ἤσθιε. Μετὰ δὲ ταῦτα, τῆς τραπέζης ἐκ μέσου γενομένης ὁ ἐξυπηρετῶν αὐτῷ δοῦλος, λαβὼν τὸν δίσκον πρός τὸ ἐπλῦναι τοῦ-

www.tezaurliturgic.ro



τον ἐν τῇ θαλάσσῃ ἐβύθιζεν. Ὑποσυρεὶς δ' ὁ δίσκος ἐκ τῶν χειρῶν αὐτοῦ, πῶς ἄν τις εἴποι; ἐν τῇ θαλάσσῃ ἐρρίφθη. Ὁ γοῦν δοῦλος, σύντρομος γενόμενος, καὶ δειλίᾳ καὶ φόβῳ συσχεθείς, ἔτι δὲ καὶ καταναρκωθείς, ὑποχαυνώσας ἑαυτόν, ἀπερρίφη καὶ αὐτὸς κατὰ πόδας ἐν τῇ θαλάσσῃ· τοῦτον ἰδὼν ὁ κύριος αὐτοῦ, ἐλεεινολογούμενος ἔλεγεν. Οὐαί μοι τῷ ἀθλίῳ ὅτι ζηλώσας τὸν τοῦ Ἁγίου δίσκον, προσαπώλεσα σὺν αὐτῷ καὶ τὸν δοῦλον. ἀλλὰ σύ, Κύριε ὁ Θεός μου, τὴν ἐπαγγελίαν ταύτην πεποίημαι ἐνώπιόν σου, ὅτι ἐὰν τὸ λείψανον καὶ μόνον τοῦ παιδός, εὑρήσω, δίδωμι τῷ θεράποντί σου Μηνᾷ καὶ τοῦτον τὸν δίσκον, καὶ τὴν τοῦ ἀπολεσθέντος διατίμησιν. Καὶ ἐξελθὼν ἀπὸ τοῦ πλοίου ἐπὶ τὴν ξηράν, ἀπέβλεπε πρὸς τὴν παράλιον, καραδοκῶν, καὶ ὑφορώμενος ἐν ὀφθαλμοῖς εἶναι τὸ ζητούμενον καὶ διά τοῦτο ἀγωνιῶν, εἴ πως δυνηθείη θεάσασθαι τὸ τοῦ παιδὸς λείψανον. Καὶ ὡς προσεῖχεν ἐπιμελῶς, εἶδε τὸν δοῦλον ἐξερχόμενον ἀπὸ τῆς θαλάσσης μετὰ τοῦ δίσκου, καὶ ἔφριξε· καὶ κράξαντος μεγάλῃ τῇ φωνῇ, ἐξῆλθον ἅπαντες ἀπὸ τοῦ πλοίου. Καὶ ὡς εἶδον τὸν δοῦλον κατέχοντα τὸν δίσκον, ἐξέστησαν ἅπαντες, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεόν. Πυνθανομένων δὲ τούτων μαθεῖν τὸν τρόπον τῆς σωτηρίας αὐτοῦ, διεσάφησεν ὁ δοῦλος λέγων. Ὅτι ἅμα τῷ ἀπορριφῆναί με ἐν τῇ θαλάσσῃ ἀνὴρ εὐειδὴς μεθ' ἑτέρων δύο κρατήσαντές με, ὥδευσαν σὺν ἐμοὶ χθὲς καὶ σήμερον μέχρι τῶν ὧδε.

Ἀλλὰ καὶ γυνή τις ἀπερχομένη εἰς τὸν Ἅγιον, καὶ βιασθεῖσα παρά τινος εἰς αἰσχρὰν μῖξιν, τὸν Ἅγιον εἰς βοήθειαν ἐπεκαλεῖτο· ὁ δὲ οὐ παρεῖδεν αὐτήν, ἀλλὰ τὸν βιαστὴν παραδειγματίσας, ἀβλαβῆ ταύτην διεφύλαξε. Δήσας γὰρ τὸν ἵππον ὁ ἀνὴρ εἰς τὸν δεξιὸν αὐτοῦ πόδα, πρὸς τὴν γυναῖκα ἠσχολεῖτο. Ὁ δὲ ἵππος ἀγριωθεὶς κατὰ τοῦ ἰδίου δεσπότου, οὐ μόνον εἰς περικοπὴν τῆς αἰσχρᾶς μίξεως ἐγεγόνει, ἀλλὰ καὶ τοῦτον ἕλκων κατὰ γῆς, ἄχρις οὗ τὸν τοῦ Ἁγίου ναὸν κατέλαβες, οὐκ ἔστη. Αὐτίκα δὲ μεγάλα καὶ πικρὰ ἐπιχρεμετίσας, ἱκανοὺς ἐξήγαγε πρὸς θεωρίαν.

Ἑορτῆς γὰρ ἀγομένης, πλῆθος λαοῦ ἐκεῖσε συνέτρεχεν. Ὁ δὲ τοῦτο πεπονθώς, ἰδὼν τὴν τοῦ λαοῦ συνέλευσιν, τὸν ἵππον δὲ ἐπὶ πλεῖον ἀγριούμενον, καὶ ἑαυτὸν ὑπὸ δηδενὸς βοηθούμενον, πτοηθεὶς μήποτε ὀλεθριώτερόν τι ὑποσταίη ὑπὸ τοῦ ἰδίου ἵππου, ἀνερυθριάστως ἐνώπιον πάντων ἐστηλίτευσε τὸ ἑαυτοῦ ἀνόνημα.

www.tezaurliturgic.ro



Καὶ εὐθέως ὁ ἵππος παυσάμενος, ἔστη ἐν ἡμερότητι. Καὶ λυθεὶς ὁ ἐπιβάτης, εἰσῆλθε πρὸς τὸν Ἅγιον, καὶ προσπεσὼν ἐδέετο τοῦ Ἁγίου μὴ πλείω πειρασθῆναι ἔτι. Καὶ χωλοῦ ποτε, καὶ ἑτέρας γυναικὸς ἀλάλου, παραμενόντων ἐν τῷ ναῷ τοῦ Ἁγίου μεθ' ἑτέρων πολλῶν πρὸς τὸ θεραπευθῆναι, μέση νυκτός, πάντων ἐν τῷ ὕπνῳ ἀσχολουμένων, ἐφάνη ὁ Ἅγιος, καὶ φησὶ τῷ χωλῷ· ἄπελθε, ἔτι ἠρεμίας οὔσης, κράτησον τὸ παλλίον τῆς ἀλάλου, καὶ θεραπευθήσῃ.

Τοῦ δὲ ἀπελθόντος, καὶ κρατήσαντος αὐτό, ἐκείνη σπασθεῖσα, ἀνέκραξε κατεγκαλοῦσα δῆθεν τοῦ χωλοῦ, καὶ ἰάθη λυθείσης τῆς γλώσσης. Ὁ δὲ χωλὸς αἰδεσθείς, εὐθέως ἀνέστη φυγῇ μέλλων χρήσασθαι. Καὶ ἐπιγνόντες ἀμφότεροι τὴν τοῦ Ἁγίου εἰς αὐτοὺς γενομένην θαυματοποιΐαν, ἐδόξασαν τὸν Θεόν.

Ἑβραῖος δέ τις ἔχων Χριστιανὸν προσφιλῆ, εἰς χώραν μακρὰν ἀποδημῶν, πολλάκις κατελίμπανεν αὐτῷ χρυσίον ἱκανόν. Τούτῳ ποτὲ παραθέμενος βαλάντιον διακοσίων νομισμάτων, ἀπεδήμησεν· ὁ δὲ χριστιανὸς ἐμελέτα ἐν τῇ καρδίᾳ αὐτοῦ ἀρνήσασθαι τὴν παρακαταθήκην, ὃ καὶ πεποίηκεν. Ἐλθόντος γὰρ τοῦ Ἑβραίου, καὶ ζητήσαντος κατὰ τὸ εἰωθός, οὐκ ἐδίδου αὐτῷ λέγων. Μηδὲν παρακατέθεικάς μοι τῇ φορᾷ ταύτῃ ὧν ἐπιζητεῖς. Ὁ δὲ Ἑβραῖος, ἀπροσδοκήτως τοῦτο ἀκούσας, ἄλλος ἐξ ἄλλου γέγονε. Καὶ εἰς ἑαυτὸν ἐλθών, φησὶ πρὸς τὸν Χριστιανὸν Ἑτέρου μὴ βλέποντος, ὅρκος διαλύσει τὸ ζητούμενον· καὶ ἐζήτει διά τοῦ Ἁγίου ἐλεγχθῆναι τὸν μὴ ἀληθεύοντα. Ἀφίκοντο οὖν, ὡς ἐκ συνθήματος, εἰς τὸν ναὸν τοῦ Ἁγίου Μηνᾶ. Καὶ παρευθὺς ὁ Χριστιανός, μηδὲν μελήσας, δι' ὅρκου τὴν οἰκείαν ἔνστασιν ἐβεβαίωσεν.

Ὡς δὲ τοῦ ὅρκου ἀπαρτισθέντος, ἐξελθόντες τοῦ ναοῦ ἀμφότεροι, τῶν οἰκείων ἵππων ἐπέβησαν, ὁ τοῦ Χριστιανοῦ ἵππος κατά τοῦ ἰδίου δεσπότου ἀτακτῶν ἦν καὶ τὸν χαλινὸν ἐκδακών, πικρὸν ἠπείλει τῷ ἐπιβάτῃ τὸν θάνατον. Καὶ τέως μὲν ἔρριψε κατὰ γῆς· διετηρήθη δὲ ἀσινής, μόνον τοῦ ἐγχειρίου (μανδηλίου) αὐτοῦ ἀπολεσθέντο σὺν κλειδίῳ καὶ βουλωτηρίῳ χρυσέῳ ἑνί· εἶθ' οὕτως, καὶ αὖθις ἐπιβάς, ἐπορεύετο, συνόντος αὐτῷ καὶ τοῦ Ἑβραίου, στυγνάζοντος καὶ βάθους στένοντος, καὶ τὴν ζημίαν μὴ φέροντος. Ἐπιστραφεὶς δὲ ὁ Ἑβραῖος, λέγει πρὸς αὐτόν· Ἐπεὶ καὶ ὁ τόπος ἐπιτήδειός ἐστιν, ὦ φίλτατε, καταβάντες τῶν ἵππων, ἀπολάβωμεν, τροφῆς.

www.tezaurliturgic.ro



᾿Αρξαμένων δὲ αὐτῶν ἐσθίειν, μετὰ μικρὸν ἀτενίσας ὁ Χριστιανός, εἶδε τὸν ἑαυτοῦ δοῦλον ἑστῶτα, καὶ κατέχοντα τῇ χειρὶ τῇ μιᾷ τὸ τοῦ ῾Εβραίου βαλάντιον, ἐνδὲ τῇ ἑτέρᾳ τὴν ἀπολεσθεῖσαν κλεῖδα σὺν τῷ ἐγχειρίῳ καὶ εἰδὼν ἐξεπλάγη, καὶ τὶ τοῦτο; πρὸς τὸν δοῦλον φησίν· ῾Ο δὲ φοβερός τις ἔφιππος, ἀπεκρίνατο. εἰς τὴν κυρίαν μου ἐλθών, καὶ ἐπιδοὺς αὐτῇ τὸ κλειδίον μετὰ τοῦ ἐγχειρίου σου, πρὸς αὐτὴν εἴρηκεν· ᾿Εν σπουδῇ ἀπόστειλον τὸ τοῦ ῾Εβραίου βαλάντιον, ἵνα μὴ ὁ ἀνήρ σου κινδυνεύσῃ καὶ ἰδοὺ λαβὼν τοῦτο ἦλθον πρὸς σέ, καθὼς ἐπέταξεν. ῾Ο δὲ ῾Εβραῖος, περιχαρὴς γενόμενος, ὑπέστρεψε μετὰ τοῦ Χριστιανοῦ πρὸς τὸν ῞Αγιον. Καὶ οὗτος μὲν ἠντιβόλει βαπτισθῆναι, ὡς τοιούτου θαύματος αὐτόπτης γενόμενος. ῾Ο δὲ Χριστιανὸς συγχώρησιν ᾔτει λαβεῖν ὑπὲρ οὗ τὸ Θεῖον παρώργισεν· ᾿Αμφότεροι οὖν λαβόντες, καθὼς ᾐτήσαντο, ὁ μὲν τὸ ῞Αγιον βάπτισμα, ὁ δὲ τὴν συμπάθειαν, ὑπέστρεψαν, εἰς τὰ ἴδια χαίροντες·

Ταῖς αὐτῶν ἁγίες πρεσβείες, ὁ Θεὸς ἐλέησον ἡμᾶς. ᾿Αμήν.

### Τῶν μαρτύρων ᾿Ωδὴ Ζ΄.

῾Ο διασώσας ἐν πυρὶ τοὺς ἀβρααμιαίους σου παῖδας καὶ τοὺς Χαλδαίους ἀνελών, οὓς ἀδίκως δικαίους ἐνήδρευσας· ὑπερύμνητε Κύριε, ὁ Θεὸς τῶν πατέρων εὐλογητὸς εἶ.

Συναποβάλου ταῖς πληγαῖς σὺ τοὺς δερματίνους χειτῶνας τῆς ἁμαρτίας, καὶ στολὴν ἐνεδύσω μηκέτι παλαίωσεν δεχομένην μακάριε ἣν ἐξηφάνησεν ἡ χάρις ἐπιφανεῖσα.

᾿Εχων ἀφθόνους δωρεὰς καὶ θαυματουργίας πηγάζεις τοῖς τὴν σεπτήν σου ἑορτὴν ἐκτελοῦσι. Μηνᾶ ἀξιάγαστε καὶ συμπράττεις τοῖς ψάλλουσιν ὁ Θεὸς τῶν πατέρων εὐλογητὸς εἶ.

### Θεοτοκίον.

Εὐλογημένος ὁ καρπὸς τῆς εὐλογημένης γαστρὸς σου ὃν εὐλογοῦσιν τῶν οὐρανῶν αἱ δυνάμεις βροτῶν τε συστήματα ὁ ἡμᾶς λυτρωσάμενος τῆς κατάρας τῆς ἀρχαίας εὐλογημένης.

www.tezaurliturgic.ro



### Ὠδὴ Η !

Ὡράθης ὡς ἄρτος ἐν τῷ μέσῳ πυρᾶς ἁπτομένης ἐξωπόμενος θῦμα ὡς ἀμώμυτον τέλειον ὡς σφάγιον, ὡς ἱερεῖον ἔμψυχον, ὁλοκαυτούμενος καὶ θείαν εὐωδίαν ἐκπέμπων ἣν Θεὸς ὀσφράνθη Μηνᾶ Θεοῦ θεράπων.

Συρόμενος μάρτυς καὶ τριβόλους ὀξέσι κεντούμενος συνέτρυψας κέντρα τοῦ ἀλάστορος ξίφη δὲ τεμνόμενος ὡς ἐν ἐκτάσει πίστεως ὅπλοις διέκοψας ἀνόμων κεφαλὰς ἀθλοφόρε μέλπων εὐλογεῖτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Λυθεὶς τῆς σαρκὸς πληγὴ τοῦ ξίφους στοργῇ συνεδέθης τελειότερον μάρτυς τοῦ δεσπότου σου πρόσωπον πρὸ πρόσωπον νῦν δὲ ὁρᾷς θεούμενος Μηνᾶ καὶ μέλπεις αὐτῷ τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον.

Οἰκεῖ ἐν γαστρὶ σου ὑπὲρ λόγον ὁλόγῳ δημιουργήσας κτίσιν ἅπασαν· βρέφος καθορᾶτε δε σοῦ ἀποτικτόμενος ὁ πρὸ αἰώνων ἄχραντε ἐκ τοῦ πατρὸς γεννηθεὶς ὃν πᾶσα εὐλογεῖ καὶ δοξάζει κτίσις Θεοτόκε εἰς πάντας τοὺς αἰῶνας.

### Ὠδὴ Θ΄.

Γῆ σου νῦν τὸ σῶμα τὸ στερρὸν μακάριε ἐναθλῆσαν κατεκάλυψε φέρει τὸ πνεῦμα οὐρανός, δὲ σὺν πνεύμασι μαρτύρων γηθόμενον καὶ φαιδροτάτῃ δόξῃ λαμπόμενο, ὅθεν σε πάντες μακαρίζομεν.

Οἰκεῖς μετ' ἀγγέλων ἐν φωτὶ ἰσάγγελον πολιτίαν ἀσπασάμενος βλέπεις νοῒ κεκαθαρμένῳ Μηνᾶ τὴν τοῦ κυρίου τερπνότητα πλουσίως ταῖς ἐκεῖθεν λαμπόμενος φωτοχυσίας ἀξιάγαστε.

www.tezaurliturgic.ro



Ἰδὼν τὸν ποθούμενον Χριστὸν πανεύφημε ἀπολαύεις τῆς θεώσεως ἔστης τοῦ πόθου ἐπεφθάσας Μηνᾶ τῶν ἐφετῶν τὸ ἀκρότατον ἡμῶν δὲ μνημονεύεις τῶν πόθων σου μνήμην τελούντων τὴν πανίερον.

Θεοτοκίον.

Σαρκὶ καθ' ὑπόστασιν ἡμῖν ἐκύησας θεὸν λόγον μητροπάρθεν κυρίως ὅθεν Θεοτόκον καρδία σὲ καὶ γλώσσῃ κηρύττοντες φωνήν σου τοῦ Γαβριὴλ προσφθεγγόμεθα· χαῖρε βρῶντες πάντων Δέσποινα.

Ἐξαποστειλάριον. τῶν μαρτύρων Ὁ οὐρανῶν τοῖς ἄστροις.

Τοὺς οὐρανοὺς ἀστέρες κατακοσμοῦσιν οἰκτίρμων, τὴν ἐκκλησίαν Μηνᾶς δὲ Βίκτωρ Βικέντιος κοσμεῖ, καὶ στεφανὶς δι ὧν σῶσον ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας (δίς.)

Θεοτοκίον.

Ἐν σοὶ Πανάχραντε κόρη ἐθεωρήθησαν ὄντως αἱ τοῦ Κυρίου πορεῖαι καὶ τοὺς βροτοὺς ὁδηγοῦσιν ἔνθα χωροῖαι ἀγγέλων καὶ πάντων ἁγίων δῆμοι.

Εἰς τοὺς αἴνους Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Μηνᾶ παμμακάριστε τῶν ἀθλητῶν ἐγκαλλώπισμα, τῶν θερμῶς εὐφημούντων σε προστάτης γενόμενος, ἐκ παντὸς κινδύνου πάσης ἀσθενείας ἐπιδρομὰς ἀγαρηνῶν, καὶ τυραννίδος τάχως διάσωσον. Ὡς μάρτυς γὰρ ἀήττητος καὶ πρεσβευτὴς ἀκαταίσχυντος παρρησίαν ὡς κέκτησω πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν.

www.tezaurliturgic.ro



Δρόμον ἐκτελέσαντα σὲ καὶ τὴν πίστιν τηρήσαντα, ἀθανασίας μακάριε Χριστὸς ἐναπέθηκε, τῷ λαμπρῷ στεφάνῳ, τῆς δικαιοσύνης καὶ κατελάμπρυνες αὐτῷ τὴν ὁμολογίαν Μηνᾶ μακάριε δι ὅ τὴν ἐπουράνιον κλῆσιν δεξάμενος, τὸν σωτῆρα δυσώπησον ὑπὲρ τῶν ἀνυμνούντων Σε.

Ἄνθος ὡραιότατον, ἐν τῷ λιμῶνι ἐξήνθυσας, σὺ Μηνᾶ, πανσεβάσμιε, τοῦ πνεύματος πέμποντα, θεῖαν εὐοδίαν, καὶ τὰς διανείας εὐοδιάζοντα, πιστῶς τῶν αἰτησίως μνήμην, τιμώντων σου, τοὺς ἄθλους τὰ παλαίσματα, τὴν μακαρίαν τελείωσιν δι ἧς φῶς τὸ ἀνέσπερον ἐκληρόσω, γηθόμενος.

Δεῦτε φίλαθλοι τὴν τρισαυγῆ τῶν μαρτύρων τιμήσωμεν χορεῖαν, Μηνᾶν τε καὶ Βίκτωρα καὶ Βικέντιον, ὅτι αἵματα ἔδωκαν, καὶ ὠνήσαντο, τὴν αἰώνιον ζωήν. διὸ καὶ καρτερικῶς ἀντέλεγον τῷ ἐφευρέτῃ τῶν κακῶν, οὐ προκρίνονεν τὰ φθαρτὰ τῶν αφθάρτων· οὐ στρατευόμεθα, βασιλεῖ θνητῷ γηίνῳ, ἀλλὰ τῷ ζῶντι Βασιλεῖ στρατευόμεθα, τῶ ἀεὶ βοῶντι τοῖς πιστοῖς ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνει ζήσεται.

Δόξα ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι τὸν ὕμνον, καὶ κροτήσωμεν ἐν ἄσμασιν, καὶ τερπόμενοι μελωδίσωμεν τῇ χαρμοσύνῳ πανηγύρει, τοῦ ἀθλοφόρου Μηνᾶ, ἀθληταὶ καὶ φιλομάρτυρες, συνέλθετε, καὶ τὸν ἀθλοφόρον κροτήσωμεν ἐν ὕμνοις. Πανδοχεῖ ἐλέγξαντα, κακουργίαν γενομένην, πρὶν καὶ ἐμπόρῳ φιλανθρώπως ἀναστήσαντι. Μαρτύρων οἱ φιλέορτοι, τὸν τοῦ Χριστοῦ ὁπλίτην,

www.tezaurliturgic.ro



συνελθόντες εὐφυμήσωμεν· οἱ ἐν κινδύνοις τὸν λυτρωτήν, οἱ ἐν πενίᾳ τὸν ὄλβον, οἱ ἐν θλίψεσι τὴν χαρμονήν, οἱ ἐν ἀσθενείαις τὴν ῥῶσιν, οἱ ἐν πάθεσι τὴν θεραπείαν, τὸν πάντας τοὺς δεομένους, εἰσακούοντα, μέγιστον στρατιώτην ἐγκωμιάζοντες οὕτως εἴπομεν· ἀθλητῶν φωστὴρ Μηνᾶ παμφαέστατε, ἐξελοῦ ἡμᾶς ἐκ παντείας ἀνάγκης καὶ σῶσον τοὺς δούλους σου ταῖς ἱκεσίαις Σου.

**Καὶ νῦν.**

Μακαρίζομέν σε Θεοτόκε παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη.**

**Ἀπόστολος. Κυριακὴ ΙΕ΄.**

Εὐαγγέλιον τῆς λειτουργίας, ἐκ τοῦ κατὰ Ἰωάννην. (23 Απρ

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοὺς μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν.

ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ.

Τύποις: ΧΡ. ΟΙΚΟΝΟΜΙΔΗΣ Πάφος Τηλ. 2563

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

Τῶν ἁγίων ἐνδόξων Μαρτύρων

## ΜΗΝΑ, ΒΙΚΤΩΡΟΣ ΚΑΙ ΒΙΚΕΝΤΙΟΥ

Ὧν ἡ μνήμη τελεῖται τῇ 11η Νοεμβρίου

*ΕΚΔΟΤΗΣ*

Χ" ΓΕΩΡΓΙΟΣ ΧΡΙΣΤΟΦΟΡΟΥ

*Ἐκ τοῦ χωρίου Δοροῦ*

(Ἐπαρχίας Λεμεσοῦ)

ΕΝ ΛΕΥΚΩΣΙᾼ ΚΥΠΡΟΥ

**1926.**

*Τύποις «ΑΝΑΤΟΛΗΣ»*

www.tezaurliturgic.ro

ΕΝ ΜΗΝΙ ΝΟΕΜΒΡΙΩ ΙΑ΄.

# Μνήμη τῶν ἁγίων Μαρτύρων

# ΜΗΝΑ, ΒΙΚΤΩΡΟΣ καὶ ΒΙΚΕΝΤΙΟΥ

## Εἰς τὸν ἑσπερινόν.

Εἰς τὸ Κύριε ἐκέκραξα Ἱστῶμεν στίχους 6 καὶ ψάλομεν στιχηρὰ προσόμοια τῶν Μαρτύρων.

Ἦχος πλ. δ΄ Ὢ τοῦ παραδόξου θαύματος.

*Πάθος Μηνᾶ ἐκμιμούμενος, τοῦ ἀπαθοῦς σεαυτόν, ὡς ἀρνίον παρέδωκας, πρὸς σφαγὴν ἑκούσιον, ἀθλοφόρε πανεύφημε θυμὸν ἀρχόντων οὐκ ἐδειλίασας· σαρκὸς αἰκίσεις οὐ κατενάρκησας ὢ τῶν ἀγώνων σου, καρτερᾶς ἐνστάσεως! δι᾽ ὧν πρὸς γῆν, μάρτυς καταβέβληκας τὸν ὑπερήφανον*

*Μάστιξι καταξεόμενος, καὶ ἐπὶ ξύλου ὡς πρίν, ὁ Δεσπότης τυνόμενος καὶ σιδήρῳ πάντωθεν, τὰς πλευρὰς δαπανώμενος, οὐκ ἐξηρνήσω Χριστοῦ τὸ ὄνομα, πρὸς τοῦτο ἔχων ψυχῆς τὰ ὄμματα ὢ συντονώτατα, ἀτενίζων Ἅγιε, τὰς τῆς σαρκός, ἔφερες ἐπίπονα Μηνᾶ μακάριε.*

*Μάρτυς Μηνᾶ πανοίδιμε τὴν τοῦ κόσμου ἀχλύν, καὶ στρατείαν ἐπίκηρον, καὶ εἰδώλων σκότωσιν, ἀσεβῶν τὰ συνέδρια τῇ ἀγαπήσει Χριστοῦ κατέλειπες στρατολογίας συναριθμούμενος, τῶν ἐκλεκτῶν αὐτοῦ· ὅθεν καὶ ἀήττητος, παναληθῶς μάρτυς ἀναδέδειξε ὑπὲρ αὐτοῦ ἐναθλῶν.*

*Ἐπὶ πέτραν τὴν ἄσειστον, στερεώσας ὁ Κύριος τῆς ἁγίας πίστεως, τὴν καρδίαν σου μάρτυς Μηνᾶ πανοίδιμε, ἰσχὺν ὑπερίσχηρον δέδωκε σοι· κατ᾽ ἐχθρῶν ἀδαμάντινον, δύναμιν, ῥῶσιν ἄρρηκτον ἐναθλήσας διόπερ ἐν σταδίῳ χαλεποῖς κολαστηρίοις, θριαμβευτὴς ἀναδέδειξαι.*

*Τὸ τρισάριθμον σύνταγμα, τῶν μαρτύρων ὑμνήσωμεν τῶν πιστῶν κραταίωμα καὶ διάσωσμα τοὺς ἀθλοφόρους κραυγάζοντες, ἀήττητοι μάρτυρες διασώσατε ἡμᾶς ἀπὸ πάσης κακώσεως, Μηνᾶ ἔνδοξε σὺν συνάθλῳ τῷ θείῳ Βικεντίῳ καὶ τῷ Βίκτωρι ἀξίως ὡς τῷ Κυρίῳ θεράποντες.*

www.tezaurliturgic.ro



Τῆς ἀθλήσεως ἔπαθλον, ἀθλοφόρε, θαυμάσιε τῷ λαμπρῶς ἀθλήσαντι καὶ νικήσαντι, τὸ τῶν ἀθλούντων πανάθλιον, ἐχθρῶν καὶ πολέμιον, σοὶ δωρεῖται ἀθλητὰ βασιλείαν οὐρανῶν, δόξαν ἄφθαρτον, ἀθλοφόρων ὁ μέγας, ἀθλοθέτης εἰδὼς γὰρ αὐτὸς, τοιαύτας ἀθλοθεσίας χαρίζεσθαι.

Δόξα. Καὶ νῦν. Ἦχος πλ. δ΄.

Τῶν ἀθλητῶν τὴν καλλονὴν, καὶ τῆς Αἰγύπτου κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ πρὸς Θεὸν πρεσβευτὴν εὐμενέστατον, συνελθόντες φιλομάρτυρες μελωδικὲς ὑμνῳδίες, τιμήσωμεν λέγοντες· χαίρεις τῶν ὀρθοδόξων φρουρὸς καὶ φύλαξ κραταιὸς καὶ τεῖχος ἀπροσμάχητον, χαίρεις ἀστὴρ τηλαυγέστατε, ὢ τὰ τοῦ κόσμου πέρατα· καταυγάζων τοῖς θαύμασι, χαίρεις τῶν λυπουμένων ὁ θεῖος παρακλήτωρ, καὶ ἀδικουμένων θερμότατος προστάτης· καὶ νῦν Μηνᾶ θαυμαστώτατε μὴ παύσῃ δεόμενος Χριστῷ τῷ Θεῷ, ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐκτελούντων, τὴν πανέορτον καὶ σεβάσμιον μνήμην σου.

Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψωσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμένουσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν· καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν, λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον

www.tezaurliturgic.ro



ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπισκοπῶν ἀλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφθήσονται χάλαζαι ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλιμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους καὶ οἱ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι, παρὰ κυρίου ἡ κράτησις ἡμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Προφητείας Ἠσαΐου τό ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνήδεισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός. ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμί. καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Εἰς τὴν λιτὴν, ἰδιόμελα ἦχος α΄.

*Μεγαλώνυμε τοῦ Χριστοῦ ἀθλητᾶ, Μηνᾶ γενναιότατε, σὺ ρωμαλέος φρονίματι τὸν ὄντως Θεὸν ἐν σταδίῳ ἐκύρηξας· τῶν παρόντων καταφρονήσας ὡς προσκαίρων· καὶ νῦν ἐν οὐρανοῖς, ἐπαγαλλόμενος, σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων, ἀπαύστως τὸν Χριστόν, ὃν υἱὸν Θεοῦ παρρησίᾳ, ὁμολογήσας ἱκέτευε εἰρήνευσε τὸν κόσμον· καὶ τοὺς ἐν σπλήνῃ νόσῳ διακειμένους ἴασαι· λυτρούμενος ἐκ παντίων κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ τιμῶντας, τὴν πανασοίδημον μνήνην σου.*

*Ἀναλαβῶν τὴν πανοπλίαν τοῦ Χριστοῦ, Μηνᾶ, μακάριε· πρὸς τὴν πλάνην τοῦ ἐχθροῦ, ἐχώρισας ἀνδρικῶς, ὅθεν παντοδαπῶν κολάσεων εἴδεσι προσωμίλησας, καὶ διὰ πασῶν τούτων εἰς γῆν παντελῶς κατηδάφησας· καὶ τὸν στέφανον τῆς νίκης ἐκ χειρὸς Κυρίου, ὡς νικητὴς πανάριστος ἀπήλειφας· διὸ σοῦ τὴν σεβάσμιον πανήγυριν ἐπιτελοῦντες οἱ πιστοί· τὸν Σωτῆρα δοξάζομεν, τὸν ἀξίως σὲ δοξάσαντα.*

www.tezaurliturgic.ro



Τῶν ἀθλητῶν τὸ ἐγκαλλώπισμα Μηνᾶς ὁ θαυμάσιος· ἐν τῷ σταδίῳ πάσχοντα τῷ τυράννῳ ἔλεγε· δεινὰ μὲν τὰ παρόντα κολαστήρια ὦ δικαστᾶ, οὐ προκρίνω, δὲ ὅλος τῶν οὐρανῶν τὰ ἐπίγεια, ἀλλὰ χαίρων ἄπιω πρὸς τὸν ποθούμενον Χριστόν· οὗ ταῖς ἱκεσίαις σωτὴρ τὰ ἐλέη σου κατάπεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτοῦ ἐκτελοῦντας πιστῶς.

Δόξα ἦχος πλ. α΄.

Ἡ παμφαὴς σου σήμερον ἀνέτειλε μνήμη Μηνᾶ ἔνδοξε, ὡς ἥλιος τοῖς πέρασι, καὶ ἀπαύστως δαδουχεῖ τὰ ἰάματα, νόσους ἀποσοβοῦσα ἀνθρώπων, καὶ πάθη σπληνῶν θεραπεύουσα, ἱκέτευε οὖν ἀεὶ ὡς ἰατρός, παρεστηκὼς τῷ θρόνῳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε.

Εἰς τὰ ἀπόστιχα ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τοῖς τριβόλοις κεντούμενος, τοῖς βουνεύροις τυπτόμενος, τῷ πυρὶ τὸ σῶμά σου δαπανώμενος, οὐκ ἐξηρνήσωτο, ὄνομα Χριστοῦ τὸ σωτήριον, οὐχ ἡττήθης λογισμῷ, οὐ ξοάνοις ἐπέθησας· ἀλλὰ γέγονας, ἐθελόθυτον θῦμα καὶ θυσία, καθαρά τε καὶ τελεία, μάρτυς Μηνᾶ τῷ δεσπότῃ σου.

στιχ. θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὀφθαλμοὺς ἐκκεντούμενος, καὶ ἐν ξύλῳ κρεμάμενος, καὶ, λαμπάσι πάντοθεν φλογιζόμενος, καὶ ἀπηνείᾳ δικάζοντος, τὰ νεῦρα τεμνόμενος, καὶ τῷ ξίφει κεφαλὴν, ἀφαιρούμενος ἔχαιρες Βίκτωρ, ἔνδοξε, ἀθλητὰ τοῦ σωτῆρος ὁ νικήσας, τοῦ ἐχθροῦ τὰς παρατάξεις, τῇ συνεργείᾳ τοῦ πνεύματος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσε, ὁ Κύριος.

Ἐστεφάνωσε κύριος τῶν χαρίτων στεφάνων, Μηνᾶν τὸν πολύαθλον. σὺν Βικεντίῳ καὶ Βίκτωρι, ἑκουσίως γάρ, τοῖς βασάνοις δεδόκασι, ψυχῆς γενναιότητι· ὑπὲρ Χριστοῦ ἀγωνίσθησαν, προσδεθέντες τῷ πυρὶ, καὶ πρὸς Θεὸν ὡς στρουθία ἐν χερσὶ καταλιπόντες, τοὺς τυράννους γενναιότατοι.

Δόξα. Ἦχος πλ. β΄.

Πάλιν ἡμῖν ἡ ἐτήσιος μνήμη, τῶν τοῦ Κόσμου φωστήρων ἀνέτειλε, Μηνᾶ τε καὶ Βίκτωρος καὶ Βικεντίου, τῶν πιστῶν τὰς καρδίας φωτίζουσα, τοῖς ὑπὲρ Χριστοῦ διὰ σταυροῦ αὐτῶν ἀγωνίσμασι, διὸ τὸν ἐν δόξῃ καὶ τιμῇ στεφανώσαντα αὐτοὺς, Χριστὸν τὸν Θεὸν ἡμῶν, ὕμνοις τιμήσωμεν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον. Θεοτόκε σὺ ἡ ἄμπελος.

Ἀπολυτίκιον τῶν ἁγίων. ἦχος δ'.

*Τὸν τύραννον ᾔσχυνας ἀνδριοφρόνως στερρέ, εἴδωλα, κατεπάτησας, καὶ τὰ ἐν βίῳ τερπνά, Μηνᾶ πανμακάριστε· εἴληφας τοὺς στεφάνους διὰ τοῦ μαρτυρίου, ἔτυχες κληρουχίαν παρὰ τοῦ μόνου δεσπότου, διὸ ἐν παρρησίᾳ Χριστῷ, πρέσβευε, σωθῆναι ἡμᾶς.*

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπαιώνος ἀπόκρυφον.

Εἰς τὸν ὄρθρον καθίσματα εἰς τὴν α'. στιχολ.

Ταχὺ προκατάλαβε ἦχος δ'.

Ἀσκήσει ἐλάμπρυνας τὸ ὀπτικὸν τῆς ψυχῆς, ἀκτίσι ἀθλήσεως φωταγωγεῖ τοὺς πιστούς, Μηνᾶς ὁ θαυμάσιος, ὅθεν τὴν παναγίαν καὶ σεπτὴν αὐτοῦ μνήμην, πίστει ἐπιτελοῦντες ἐκβοήσωμεν, πάντες ὡς ἔχων παρησίαν πρὸς Χριστὸν πρέσβευε μάρτυς σωθῆναι ἡμᾶς.

Δόξα. Τὸ αὐτό, Καὶ νῦν. Θεοτοκίον,

Ταχὺ δέξαι Δέσποινα ταῖς ἱκεσίαις ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ υἱῷ καὶ Θεῷ Κυρία Πανάχραντε, λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας καὶ τὰ θράση Παρθένε. τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

Ἕτερον, Ὁ Ὑψωθῆς ἐν τῷ σταυρῷ.

Τοὺς τῶν τριβόλων σπαραγμοὺς ἐγκαρτερήσας, καὶ τοῦ πυρὸς τὴν χαλεπὴν τιμωρίαν, μαρτυρικῶς ἠγώνισαι, Πανόλβιε στέφος ἀμαράντινον ἐκ Θεοῦ ἐκομίσω, τούτῳ, παριστάμενον σὺν ἀγγέλων χορείαις, ὃν ἐκδισώπει, σώζεσθαι ἡμᾶς Μηνᾶ παμμάκαρ τοὺς πόθῳ ὑμνοῦντας σε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμεν ἀεὶ Θεοτόκε τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γάρ, σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντίων δεινῶν.

Χαῖρε, στήριγμα μέγα ἀμωμήτου θρησκείας.
Χαῖρε, χρυσοῦν δοχεῖον τῆς χάριτος,
Χαῖρε, Χριστοῦ θυσίας ἀντίτυπον.
Χαῖρε, λαμπτὴρ ὁδηγῶν τοὺς ἐν σκότει,
Χαῖρε, κρατὴρ ἐξεμῶν θεῖαν λάβαν
Χαῖρε, Μάρτυς πολύαθλε.

www.tezaurliturgic.ro



Μέγας ἐν τοῖς ἀγῶσι, καὶ πρωτεύων ἐν ἄθλοις, ἀνεδείχθης πανεύφημε Μάρτυς· ἐν τῇ σῇ φερωνύμῳ Μονῇ, σὰς ἱκέτιδας ἀεὶ διαφύλαττε, ἵνα ἀπαύστως αἶνον σοὶ προσφέρωσι, βοῶσαι·

**Ἀλληλούϊα.**

Νίκη κατ' ἐναντίων, ὁ σὸς θάνατος Μάρτυς, χείλη χερουβικὰ σὲ γεραίρει· ἐφημέρων φεύγων τὴν ζωήν, πρὸς τὴν ἀληθινὴν πορεύει ἄληκτον. Ἡμεῖς δὲ σὺν Ἀγγέλοις ᾄδοντες, σὲ προσφωνοῦμεν:

**Χαῖρε, ὁ ἥρως ὁμολογίας,**
**Χαῖρε, ὁ γίγας ἀπολογίας.**
**Χαῖρε, τοῦ Χριστοῦ μιμητὰ μακάριε,**
**Χαῖρε, τοῦ Σατὰν κραταιὲ πολέμιε.**
**Χαῖρε, ὅτι τὴν σὴν ἄθλησιν μακαρίζουσι πιστοί,**
**Χαῖρε, ὅτι σὴν ἐπέτειον ἀνυμνοῦσιν οὐρανοί.**
**Χαῖρε, τῶν Ὀρθοδόξων τὸ ἐπίζηλον χάρμα,**
**Χαῖρε, τῶν πολεμίων τὸ ἀνίατον τραῦμα.**
**Χαῖρε, ἀμνοῦ ἀμώμου ἀκόλουθε,**
**Χαῖρε, πιστοῦ ποιμνίου ὑπέρμαχε.**
**Χαῖρε, Θεοῦ δωρεῶν ταμιοῦχε,**
**Χαῖρε, Μονῆς τῆς ἡμῶν πολιοῦχε,**
**Χαῖρε, Μάρτυς πολύαθλε.**

Ξένισον ἐν τοῖς κόλποις, τῆς πανσέπτου· μονῆς σου, ἡμᾶς τοὺς ξενωθέντας τῷ κόσμῳ· καὶ πρέσβευε ἀεὶ ὑπὲρ ἡμῶν, τὸν πάντων Κτίστην μόνον Κύριον, ἵνα ἀπείραστοι δεινῶν καὶ ἀναγκῶν. ψάλλομεν ἐκ βαθέων,

**Ἀλληλούϊα.**

Ὅλον σε ἐν τοῖς κάτω, ἀναθεὶς τῷ Δεσπότῃ, ἀνεδείχθης τρανὸς ἐν τοῖς ἄνω. Ὁ Ὢν γὰρ τοὺς τιμῶντας Αὐτόν, λαμπρῶς ἀντιδοξάζει μετὰ κοίμησιν· Καὶ σέ, Μηνᾶ, θαυμάτων ἔδειξε πηγήν, ᾧ συμβοῶμεν·

**Χαῖρε, τὸ θῦμα τῶν θεομάχων,**
**Χαῖρε, τὸ βῆμα Χριστοῦ προμάχων.**
**Χαῖρε, μισοχρίστων δραπέτης κατάκριτος,**
**Χαῖρε, χριστοφίλων αὐτόμολος ἔντιμος.**
**Χαῖρε, ὁ διαπρέψας ἐν στρατείαις Ρωμαίων,**

www.tezaurliturgic.ro



Χαῖρε, ὁ θριαμβεύσας ἐν σταδίῳ τῶν ἄθλων.
Χαῖρε, ὄνομα σεβάσμιον ἐν τοῖς χείλεσι πιστῶν,
Χαῖρε, ἔρεισμα ἀπόρθητον προσβολαῖς τῶν διωκτῶν.
Χαῖρε, δι' οὗ Ὀλύμπιοι ἥττηνται,
Χαῖρε, δι' οὗ Χριστὸς ὑπερύψωται.
Χαῖρε, βλαστὲ ἀμπελῶνος Κυρίου,
Χαῖρε, καρπὲ νοητοῦ Παραδείσου,
Χαῖρε, Μάρτυς πολύαθλε.

Πάντες σὲ εὐφημοῦμεν, καὶ γεραίρομεν πόθῳ, γενναῖε τοῦ Χριστοῦ στεφανῖτα· θαυμάτων ὁρῶντες τὴν πληθύν, ἃ παρὰ Πλάστου ἐνεργεῖν ἠξίωσαι· σπλῆνας δ' ἔτι θεραπεύων, ἀκούεις εὐγνωμόνως:

Ἀλληλούϊα.

Ρήματα ἀϊδίου, σὺ ζωῆς ἀπολαύων, ἑκὼν τῶν ἐφημέρων ἀπέστης· οὐδὲν γὰρ τοῦ χωρίσαι σε, ἀπὸ ἀγάπης τοῦ Κυρίου ἴσχυσε. Ἡμεῖς δὲ σῇ εὐψυχίᾳ ἀγγαλλόμενοι, ὑμνολογοῦμεν:

Χαῖρε, τὸ ἄμωμον ἱερεῖον,
Χαῖρε, ἀνάργυρον ἰατρεῖον.
Χαῖρε, νοσημάτων παντοίων ἀντίδοτον,
Χαῖρε, ἀλγηδόνων ἡδυΐα πανάκεια.
Χαῖρε, ὅτι ἀνεζώωσας εὐσεβῆ προσκυνητήν,
Χαῖρε, ὅτι ἀνεμόρφωσας τὸν πανοῦργον φονευτήν.
Χαῖρε, τῶν μισοθέων ἀποκρούων ἐφόδους,
Χαῖρε, τῶν φιλοθέων ἐνισχύων τὴν πίστιν.
Χαῖρε, παθῶν κατευνάζων λαίλαπα,
Χαῖρε, ἀλγῶν μετριῶν δριμύτητα.
Χαῖρε, κλητὴρ τῶν Θεοῦ ἐνταλμάτων,
Χαῖρε, μνηστὴρ τῶν Χριστοῦ διδαγμάτων,
Χαῖρε, Μάρτυς πολύαθλε.

Σύμπας δῆμος Ἀγγέλων, συμπαρέστη σοι Μάρτυς, ἡνίκα κεφαλὴν ἀπετμήθης· καὶ ψυχὴν πάλλευκον λαβών, τῷ Ποιητῇ τῶν ὅλων προσεκόμισε· παρ' οὗ δεχθεὶς τὸ ἔπαθλον, οὐράνιον μολπὴν ἀκούεις·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Τέτρωται τῶν δαιμόνων, ἡ παμβέβηλος φάλαγξ, ἐπὶ τῇ σῇ αἰσίῳ ἀθλήσει· διὸ καὶ σὴν σορὸν ἐν πυρί, κελεύει τοῖς δημίοις ἵνα ρίψωσι· πλὴν ὡς χρυσὸς καθαίρεσαι, πᾶσα δὲ σάρξ ἐγκωμιᾶ σοι οὕτω:

Χαῖρε, τὸ τρόπαιον τῶν Ἀγγέλων,
Χαῖρε, τὸ βάραθρον τῶν δαιμόνων.
Χαῖρε, πρεσβυτῶν ἀξιάγαστον καύχημα,
Χαῖρε, ὁπλιτῶν κραταιὸν ἀγαλλίαμα.
Χαῖρε, ὅτι διεφύλαξας ὑπηρέτην ἐκ πνιγμοῦ,
Χαῖρε, ὅτι ἐξαπέστειλας τοῦτον ζῶντα ἐκ βυθοῦ.
Χαῖρε, ἐγκληματούντων τιμωρὸς βακτηρία,
Χαῖρε, μετανοούντων ἀσφαλὴς σωτηρία.
Χαῖρε, χαρὰ πιστῶν ἀνεκλάλητε,
Χαῖρε, φαιδρὰ Ἀγγέλων πανήγυρις.
Χαῖρε, ἀψὶς σωτηρίου θριάμβου,
Χαῖρε, κρηπὶς ἱεροῦ εὐκτηρίου,
Χαῖρε, Μάρτυς πολύαθλε.

Ὕμνον πλέκω σοι Μάρτυς, ταπεινῇ μου γραφίδι—συγχώρησον πτωχείαν τῶν λόγων—. Κινύρα ἔδει γὰρ δαβιτική, τὰ μεγαλεῖα ψάλλειν καὶ τοὺς ἄθλους σου, ἀνθ' ὧν Χριστὸς σε ἠρετίσατο καὶ ὕψωσε· πλὴν δέχου, κράζων:

**Ἀλληλούϊα.**

Φαεινόν σε ἀστέρα, δαδουχοῦντα τὴν κτίσιν, ἐσχήκαμεν Μηνᾶ προοπαιοῦχε· ἡ μορφή σου γὰρ μαρμαρυγή, ἡμᾶς ἰθύνει πρὸς λιμένα εὔδιον. Διὸ καὶ μεγαλύνοντες σὴν χάριν, ἄδομέν σοι ταῦτα:

Χαῖρε, τὸ ἔαρ τῆς ἀφθαρσίας,
Χαῖρε, τὸ νέκταρ ἀθανασίας.
Χαῖρε, πλοηγὲ εὐδρομούντων ἀόρατε,
Χαῖρε, χορηγὲ πενομένων ἀδόκητε.
Χαῖρε, ὅτι διεφύλαξας γυναικὸς σεμνῆς τιμήν,
Χαῖρε, ὅτι διεπόμπευσας τὸν αὐθάδη βιαστήν.
Χαῖρε, ὁ νυκτοφύλαξ τῶν πιστῶν οἰκετῶν σου,
Χαῖρε, ὁ οἰκονόμος ἀναγκῶν τῶν μονῶν σου.
Χαῖρε, κυψέλης μέλι γλυκύτατον,
Χαῖρε, νεφέλης ὕδωρ ζώρρυτον.
Χαῖρε, δρυμοῦ εὐωδέστατον ξύλον,

www.tezaurliturgic.ro



**Χαῖρε, Ἐδὲμ εὐγευστότατον μῆλον,**
**Χαῖρε, Μάρτυς πολύαθλε.**

Χαίροις ἐν οὐρανίοις διατρίβων θαλάμοις, ὁ πιστὸς δορυφόρος Κυρίου· παρρησίαν ἔχων πρὸς Αὐτόν, ὑπὲρ ἡμῶν σῶν μοναστῶν ἱκέτευε, ἐξ ὕψους τὴν ἐνίσχυσιν, πρὸς σὴν δοξολογίαν.

**Ἀλληλούϊα.**

Ψάλλοντές σου τὴν μνήμην, τῶν σῶν ἄθλων σελίδας, οὐρανίου χαρᾶς ἐντρυφῶμεν· τὸ γὰρ πίστεως θεῖον φυτόν, κρουνοῖς αἱμάτων σου πλουσίως ἤρδευσας· ὃ δ' αὐξηθέν, εὐχύμους καρποὺς δέδωκε, καὶ σοὶ τὴν δόξαν·

**Χαῖρε, τὸ πῦρ ἱερᾶς ἑστίας,**
**Χαῖρε, ἡ δὰς νοερᾶς λατρείας.**
**Χαῖρε, ὀπαδῶν τοῦ Κυρίου ὁ θρίαμβος,**
**Χαῖρε, τῶν ὀρδῶν Κορανίου ὁ ὄλεθρος.**
**Χαῖρε, ὄργανον σωτήριον πεποιθότων εἰς Χριστόν,**
**Χαῖρε, ἅρμα νικητήριον ἐπὶ φάλαγγας ἐχθρῶν.**
**Χαῖρε, τοῦ Ἡρακλείου ὁ ἀκοίμητος φύλαξ,**
**Χαῖρε, τοῦ φερωνύμου παρθενῶνος ὁ οἴαξ.**
**Χαῖρε, λειμὼν εὐφραίνων τὴν ὅρασιν,**
**Χαῖρε, ἀνθῶν μεθύσκων τὴν ὄσφρησιν.**
**Χαῖρε, πιστῶν μυστικὴ ἀμβροσία,**
**Χαῖρε, μονῆς τῆς ἡμῶν προστασία,**
**Χαῖρε, Μάρτυς πολύαθλε.**

Ὦ Μηνᾶ Ἀθλοφόρε, Ἐκκλησίας τὸ κλέος, Ἰησοῦ τοῦ Χριστοῦ μου θεράπον (ἐκ γ')· ἐγκώμιον ἐμὸν πενιχρόν, ἀνατίθημι δίκην θυμιάματος· ἀνθ' οὗ γενοῦ πρὸς Κτίστην πρέσβυς τῶν πιστῶν, τῶν σοὶ βοώντων·

**Ἀλληλούϊα.**

**Κάθισμα ψαλλόμενον ἐν τέλει τοῦ Ἀποδείπνου.**

Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἀνακαινίσεως τῆς σεβασμίας σου, Μονῆς ἐπέτειον, σήμερον ἄγοντες, ἔνδοξε Μάρτυς τοῦ Χριστοῦ, βοῶμέν σοι γηθοσύνως, Φύλαττε τὸν οἶκόν σου, ἀπὸ νόσου καὶ θλίψεως, πάντας δὲ περίσωζε, ἐκ βελῶν τοῦ ἀλάστορος. Ἵνα κατὰ χρέος βοῶμέν σοι· Χαῖρε, Μηνᾶ Μεγαλομάρτυς.

www.tezaurliturgic.ro

## ΤΟ ΑΠΟΛΥΤΙΚΙΟΝ ΚΑΙ ΤΟ ΚΟΝΤΑΚΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΗΝΑ

### Ἀπολυτίκιον

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὸν τύραννον ἤσχυνας, ἀνδρειοφρόνως στερρέ· εἴδωλα κατεπάτησας, καὶ τὰ ἐν βίῳ τερπνά, Μηνᾶ παμμακάριστε. Εἴληφας τοὺς στεφάνους, διὰ τοῦ μαρτυρίου, ἔτυχες κληρουχίας, παρὰ τοῦ μόνου Δεσπότου. Διὸ ἐν παρρησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

⁂ ⁂ ⁂

### Κοντάκιον

Ἦχος πλ. δ΄. τῇ ὑπερμάχῳ.

Τὸν ἐξ Αἰγύπτου ἀθλοφόρον γενναιότατον
Καὶ τῆς Μονῆς ἡμῶν προστάτην κραταιότατον
Εὐφημοῦμέν σε, Μηνᾶ, ψαλμοῖς καὶ ὕμνοις.
Τοῦ γὰρ Κτίστου στρατιώτης ὢν πανάριστος.
Ἐκδιώκεις τοῦ ἐχθροῦ στίφη παμβέβηλα.
Καὶ σοὶ κράζομεν· Χαῖρε, Μάρτυς πολύαθλε.

www.tezaurliturgic.ro

ΤΟ ΠΑΡΟΝ ΒΙΒΛΙΟΝ
ΣΥΝΤΑΧΘΕΝ ΥΠΟ ΤΟΥ
ΠΑΝΟΣ. ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΛΕΟΝΤΙΟΥ Χ" ΚΩΣΤΑ
ΕΞΕΔΟΘΗ ΑΠΟ ΤΗΝ ΙΕΡΑΝ
ΜΟΝΗΝ ΑΓΙΟΥ ΜΗΝΑ
ΛΑΡΝΑΚΟΣ
ΣΤΟ ΤΥΠΟΓΡΑΦΕΙΟΝ
ΤΟΜΑΖΟΥ ΒΑΣΙΛΕΙΟΥ
ΣΤΗΝ ΚΕΡΥΝΙΑ ΤΟ 1970

www.tezaurliturgic.ro

Ν. ΚΛΗΡΙΔΗ

# ΚΥΠΡΙΑΚΗ ΑΓΙΟΓΡΑΦΙΑ

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΗΝΑ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

### Α΄. ΠΡΟΛΕΓΟΜΕΝΑ

Τὸ κείμενο τῆς Ἀκολουθίας, τὸ ὁποῖον παρατίθεται κατωτέρω, περιλαμβάνεται σὲ χειρόγραφο, φυλασσόμενο στὸ ναὸ τοῦ Ἀρχαγγέλου στὸ χωριὸ Μιτσερό.[1] Τὸ χειρόγραφον αὐτὸ ἔχει διαστάσεις 0,22½×0,17, κι ὁ χάρτης του εἶναι ἀρρίγωτος. Περιλαμβάνει 22 φύλλα, ἐκ τῶν ὁποίων τὸ α΄ εἶναι κενό, τὸ β΄ περιλαμβάνει μονάχα τὴ λέξη ΑΚΟΛΟΥΘΙΑ καὶ τὸ γ΄ ὁλοκληρωμένον τὸν τίτλο μὲ μεγάλα κεφαλαῖα γράμματα, τὰ ὁποῖα καλύπτουν ὅλην τὴ σελίδα. Στὸ κάτω μέρος τῆς σελίδας αὐτῆς παρατίθεται μὲ κεφαλαῖα γράμματα ἡ λέξη ΕΝΕΤΙΗΣΙΝ καὶ ἡ χρονολογία 1865, φανερώνουσα παρεξήγηση τοῦ ἀντιγραφέα, ὁ ὁποῖος μετέφερε στὸ χειρόγραφό τὸ ΕΝΕΤΙΗΣΙΝ ἀπὸ τὰ τυπωμένα στὴν ΕΝΕΤΙΑΝ ἐκκλησιαστικὰ βιβλία, ὅπως ἔκαναν καὶ ἄλλοι ἀντιγραφεῖς χειρογράφων Ἀκολουθιῶν.[2] Ἀπὸ τὸ δ΄ φύλλον ἀρχίζει τὸ κείμενο τῆς Ἀκολουθίας μὲ ὡραία στρογγύλη γραφή, μὲ πολὺ λίγες συντομογραφίες καὶ πολλὰ ὀρθογραφικὰ λάθη κι ἐλαττωματικὴ στίξη. Τὰ ἀρχικὰ γράμματα σὲ κάθε στιχερὸ εἶναι γραμμένα μὲ κόκκινο μελάνι ὅπως στὰ ἐκκλ. βιβλία, καὶ τὸ κάθε γράμμα φέρει διάφορες διακοσμήσεις.

Ὁ σεβασμὸς τῶν Κυπρίων πρὸς τὸν ἅγ. Μηνᾶν δὲ μπόρεσε ν' ἀνεχθῆ τὴν ἀτέλεια τῆς Ἀκολουθίας του στὸ Μηναῖο τῆς 11ης Νοεμβρίου ποὺ γιορτάζεται ἡ μνήμη του. Λείπουν ἀπὸ τὴν Ἀκολουθίαν αὐτὴν τοῦ Μηναίου οἱ Προφητεῖες, τὰ στιχερὰ τῆς Λιτῆς, τὰ Ἀπόστιχα, τὰ Καθίσματα τοῦ Ὄρθρου, καὶ οἱ Αἶνοι. Ὁ ἄγνωστος συγγραφέας τῆς Ἀκολουθίας αὐτῆς περιέλαβε στὸ χειρόγραφό του μονάχα τὰ Ἑσπέρια, τὸ σχετικὸν Κανόνα τοῦ ἁγίου, τὰ ὁποῖα παραλείπονται στὴν ἔκδοση αὐτή, κι ἕνα μονάχα στιχερὸ ἀπὸ τὰ Καθίσματα ποὺ παρατίθενται στὸ τέλος τῆς Ἀκολουθίας, περιέλαβε δὲ νέα στιχερὰ γιὰ τὰ Ἑσπέρια, μὲ προσθήκην Προφητειῶν, στιχερῶν γιὰ τὴ Λιτή, τὰ Ἀπόστιχα, τὰ Κθίσματα τοῦ Ὄρθρου, νέον Κανόνα μὲ διαφορετικὸν Κοντάκιον καὶ Οἶκον, καὶ νέον Ἐξαποστειλάριον καὶ

1) Στὸν ἴδιο ναό, φυλάσσεται χειρόγραφη ἀκολουθία τοῦ ἁγίου Μοδέστου.

2) Μπορεῖ ὁ ἀναγνώστης νὰ δῆ τὴν ἴδια περίπτωση: α) «Κυπριακαὶ Σπουδαὶ» τ. Γ΄ σ. 33, χειρόγραφον ἀκολουθίας ἁγ. Θεοδώρου καὶ β) «Κυπριακαὶ Σπουδαὶ», τ. ΙΔ΄ σ. 79, χειρόγραφον ἀκολουθίας ἁγ. Θέκλης.

www.tezaurliturgic.ro



Αἴνους, μὲ διαφορετικὸν 'Απολυτίκιον τοῦ ἁγίου, παραλείψας τὸ Συναξάρι τοῦ Μηναίου.

Ἡ τελευταία σελίδα τοῦ χειρογράφου περιλαμβάνει: ἕνα μεγαλυνάριον πρὸς τὸν ἅγ. Μηνᾶν, 4 στίχους συνήθεις, ἀναφερομένους σὲ γραφεῖς καὶ ἀντιγραφεῖς χειρογράφων 'Ακολουθιῶν ἁγίων, τὴ συνηθισμένη παράκλησή των νὰ τοὺς συγχωροῦν τὰ λάθη ποὺ τυχὸν ἔκαναν, καθὼς καὶ τὸ ἔτος ποὺ γράφτηκε τὸ χειρόγραφο, τὸ ὄνομα τοῦ χορηγοῦ καὶ τοῦ ἀντιγραφέα, ὁ ὁποῖος ὀνομαζόταν Ἀβέρκιος, ἦταν ἱεροδιάκονος κι ἔκρυψε τ' ὄνομα τοῦ χωριοῦ του κάτω ἀπὸ 'Αραβικοὺς ἀριθμούς, τοὺς ὁποίους ἀντικαθιστοῦμε μὲ γράμματα τοῦ ἀλφαβήτου καὶ βρίσκομε τ' ὄνομα τοῦ χωριοῦ.

Τὰ πολλὰ ὀρθογραφικὰ λάθη τοῦ κειμένου παραλείπονται καθὼς καὶ οἱ λίγες συντομαγραφίες. Σὲ τέσσερεις περιπτώσεις γλωσσικῆς ἀνωμαλίας γίνεται ἐπανόρθωση μὲ ὑποσημείωση τῆς λανθασμένης λέξεως τοῦ χειρογράφου.

Ν. ΚΛΗΡΙΔΗΣ

www.tezaurliturgic.ro



## Β΄ ΤΟ ΚΕΙΜΕΝΟ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

### ΕΝ ΜΗΝΙ ΝΟΕΜΒΡΙΩ ΙΑ΄.

### ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΗΝΑ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Ἑσπέρας, ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ· μετὰ τὸν Προοιμιακὸν ψαλμόν, τὸ Μα-
καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος α΄.
κάριος ἀνήρ. Τὸ α΄ ἀντίφωνον.[1] Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος α΄.

[Περιλαμβάνει τὸ χειρόγραφον ἐδῶ τὰ στιχηρὰ τοῦ Μηναίου, μετὰ τὰ ὁποῖα ἀκολουθοῦν τὰ κατωτέρω:]

*Ἕτερα στιχηρὰ τοῦ Ἁγίου, ἦχος δ΄.*
*Ὡς γενναῖον ἐν μάρτυσιν.*

Ἐπὶ πέτραν τὴν ἄσειστον, στερεώσας ὁ Κύριος, τῆς ἁγίας πίστεως τὴν καρδίαν σου, μάρτυς Μηνᾶ παναοίδιμε, ἰσχὺν ὑπερίσχυρον, δέδωκέ σοι κατ' ἐχθρῶν, ἀδαμάντινον δύναμιν, ῥῶσιν ἄρρηκτον, ἐναθλήσας διόπερ ἐν σταδίῳ, χαλεποῖς κολαστηρίοις, θριαμβευτὴς ἀναδέδειξαι.

*Ὅμοιον.*

Τὸ τρισάριθμον σύνταγμα, τῶν μαρτύρων ὑμνήσωμεν, τῶν πιστῶν κραταίωμα καὶ διάσωσμα, τοὺς ἀθλοφόρους αὐγάζοντες. Ἀήττητοι μάρτυρες, διασώσατε ἡμᾶς ἀπὸ πάσης κακώσεως, Μηνᾶ ἔνδοξε, σὺν τῷ θείῳ Βικεντίῳ καὶ τῷ Βίκτωρι ἀξίως, ὡς τῷ Κυρίῳ θεράποντες.

*Ὅμοιον.*

Τῆς ἀθλήσεως ἔπαθλον, ἀθλοφόρε θαυμάσιε, τῷ λαμπρῶς ἀθλήσαντι καὶ νικήσαντι τὸν τῶν ἀθλόντων πανάθλιον, ἐχθρὸν καὶ πολέμιον, σοὶ δωρεῖται ἀθλητά, βασιλείαν οὐράνιον, δόξαν ἄφθαρτον, ἀθλοφόρων ὁ μέγας ἀθλοθέτης· οἶδε γὰρ οὗτος τοιαύτας, ἀθλοθείας χαρίζεσθαι.

*Δόξα, ἦχος πλ. β΄.*

Τῶν ἀθλητῶν τὴν καλλονήν, καὶ τῆς Αἰγύπτου κλέος, τὴν βρύσιν τῶν θαυμά-

---

1) Τὸ α΄ ἀντίφωνον ἐδῶ δὲν ἔχει τὴ θέση του, γιατὶ μπαίνει πάντα στὰ Καθίσματα τοῦ Ὄρθρου.

www.tezaurliturgic.ro



των, καὶ πρὸς Θεὸν πρεσβευτὴν εὐμενέστατον, συνελθόντες φιλομάρτυρες, μελῳδικαῖς ὑμνῳδίαις τιμήσωμεν λέγοντες. Χαίροις τῶν Ὀρθοδόξων φρουρός, καὶ φύλαξ κραταιός, καὶ τεῖχος ἀπροσμάχητον. Χαίροις ἀστὴρ τηλαυγέστατος, ὁ τὰ τοῦ κόσμου πέρατα καταυγάζων τοῖς θαύμασι. Χαίροις τῶν λυπουμένων ὁ θεῖος παρακλήτωρ, καὶ ἀδικουμένων θερμότατος προστάτης. Καὶ νῦν Μηνᾶ θαυμαστότατε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων τὴν πανέορτον καὶ σεβάσμιον μνήμην σου.

*Καὶ νῦν. Τίς μὴ μακαρίσει σε Παναγία.*

*Εἴσοδος. Τὸ φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τὶς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυτες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ ποιῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται· ἐγὼ εἰμι Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστι ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τὶς ἀποτρέψει τοῦτο; λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψητε αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασαν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει

www.tezaurliturgic.ro



τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν, τὰ ἰδιόμελα, ἦχος α΄.*

Μεγαλώνυμε τοῦ Χριστοῦ ἀθλητά, Μηνᾶ γενναιότατε, σὺ ῥωμαλέῳ φρονήματι, τὸν ὄντως Θεόν, μεγαλοφώνως ἐν σταδίῳ ἐκήρυξας, τῶν παρόντων καταφρονήσας ὡς προσκαίρων, καὶ νῦν ἐν οὐρανοῖς ἐπαγαλλόμενος, σὺν τοῖς χοροῖς τῶν ἀγγέλων, ἀπαύστως τὸν Χριστόν, ὃν Υἱὸν Θεοῦ παρρησίᾳ ὁμολογήσας ἱκέτευε, εἰρηνεῦσαι τὸν κόσμον, καὶ τοὺς ἐν δεινῇ νόσῳ διακειμένους ἴασαι, λυτρούμενος ἐκ παντοίων κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ τιμῶντας, τὴν πανοίδιμον μνήμην σου.

*Ὁ αὐτός.*

Ἀναλαβὼν τὴν πανοπλίαν τοῦ Χριστοῦ, Μηνᾶ μακάριε, πρὸς τὴν πλάνην τοῦ ἐχθροῦ ἀνδρικῶς ἐχώρησας· ὅθεν παντοδαπῶν κολάσεων εἴδεσι προσωμίλησας, καὶ διὰ πασῶν τούτων εἰς γῆν παντελῶς κατηδάφισας, καὶ τὸν στέφανον τῆς νίκης ἐκ χειρὸς Κυρίου, ὡς νικητὴς πανάριστος ἀπείληφας, διὸ σοῦ τὴν σεβάσμιον πανήγυριν ἐπιτελοῦντες οἱ πιστοί. τὸν Σωτῆρα δοξάζομεν, τὸν ἀξίως σὲ δοξάσαντα.

*Ὁ αὐτός.*

Τὸν ἀριστέα τοῦ Χριστοῦ Μηνᾶν τὸν ἀοίδιμον, συνελθόντες οἱ πιστοί, ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. Οὗτος γὰρ τὸν πρὸς ἐχθροὺς ἀοράτους πόλεμον ὑπελθών, καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο. Καὶ νῦν ἐν οὐρανοῖς μετ' ἀγγέλων χορεύει, τὴν ἀκατάλυτον χορείαν, αἰτεῖται τῇ οἰκουμένῃ εἰρήνην καὶ τὸ μέγα ἔλεος.[1]

*Ἦχος β΄.*

Τῶν ἀθλητῶν τὸ ἐγκαλλώπισμα, Μηνᾶς ὁ θαυμάσιος, ἐν τῷ σταδίῳ πάσχων,*

---

1) Παραλαμβάνεται ἀπὸ τὰ ἀπόστιχα τοῦ Μηναίου, τὰ ὁποῖα στὸ Μηναῖον παρατίθενται στὸ τέλος τοῦ Κανόνος.

* Τὸ χειρόγραφον ἔχει: πάσχωντα.

www.tezaurliturgic.ro



τῷ τυράννῳ ἔλεγε. Δεινὰ μὲν τὰ παρόντα κολαστήρια ὦ δικαστά· οὐ προκρίνω δὲ ὅλως τῶν οὐρανῶν τὰ ἐπίγεια, ἀλλὰ χαίρων ἀπίω πρὸς τὸν ποθούμενον Χριστόν. Οὗ ταῖς ἱκεσίαις Σωτήρ, τὰ ἐλέη σου κατάπεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτοῦ ἐκτελοῦντας πιστῶς.

*Ὁ αὐτός.*

Ἀισματικὴν ὑμνῳδίαν, δεῦτε φιλομάρτυρες, προσάξωμεν Χριστῷ τῷ Θεῷ, τῷ θαυμαστῷ ἐν τοῖς ἁγίοις αὐτοῦ. Σήμερον γὰρ ἐξέλαμψε τοῦ ἀθλοφόρου Μηνᾶ ἡ σεβάσμιος ἑορτή, οὗτινος τὴν μνήμην καὶ νῦν ἐτήσιον τελοῦντες ἱκετεύομεν αὐτόν, τοῦ πρεσβεύειν ἀπαύστως τῷ Σωτῆρι καὶ Θεῷ, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Ὁ αὐτός.*

Δεῦτε φίλαθλοι τὴν τρισαυγῆ τῶν μαρτύρων τιμήσωμεν χορείαν, Μηνᾶν τε καὶ Βίκτωρα καὶ Βικέντιον, ὅτι αἵματα ἔδωκαν, καὶ ὠνήσαντο τὴν αἰώνιον ζωήν. Διὸ καρτερικῶς ἀντέλεγον τῷ ἐφευρέτῃ τῶν κακῶν, οὐ προκρίνομεν τὰ φθαρτὰ τῶν ἀφθάρτων, οὐ στρατευόμεθα βασιλεῖ θνητῷ γηίνῳ, ἀλλὰ ζῶντι βασιλεῖ στρατευόμεθα, τῷ ἀεὶ βοῶντι τοῖς πιστοῖς, ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται.

*Δόξα, ἦχος πλ. α΄.*

Ἐξέλαμψεν ἡμέρα χαρμόσυνος, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἡ πάνσεπτος μνήμη, τοῦ πανενδόξου μάρτυρος Μηνᾶ, τοὺς πιστοὺς καταυγάζουσα, ταῖς ἀκτῖσι τῶν θαυμάτων αὐτοῦ, καὶ εὐφραίνουσα τὰς καρδίας ἡμῶν, τῇ ἀτρέπτῳ τῆς πίστεως ὁμολογίᾳ, ὑπὲρ ἧς ἀπετμήθη τὴν κεφαλήν· ἧς καὶ ἡμᾶς ἀκλινῶς ἐμμένειν, μέχρι τελευταίας ἀναπνοῆς, Χριστὸν ἱκετεύσωμεν, τὸν ἀξίως αὐτὸν στεφανώσαντα.

*Καὶ νῦν, Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε.*

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Στιχηρὰ προσόμοια, ἦχος δ΄.*

[Τὸ χειρόγραφον περιλαμβάνει ἐδῶ τὰ τρία στιχηρὰ τοῦ Μηναίου, καὶ ἀντὶ τοῦ δοξαστικοῦ καὶ Θεοτοκίου, τὰ κατωτέρω:]

*Δόξα, ἦχος πλ. β΄.*

Πάλιν ἡμῖν ἡ ἐτήσιος μνήμη, τῶν τοῦ κόσμου φωστήρων ἀνέτειλε, Μηνᾶ τε καὶ Βίκτωρος καὶ Βικεντίου, τῶν πιστῶν τὰς καρδίας φωτίζουσα, τοῖς ὑπὲρ Χριστοῦ διὰ σταυροῦ αὐτῶν ἀγωνίσμασι. Διὸ τὸν ἐν δόξῃ καὶ τιμῇ στεφανώσαντα αὐτούς, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐν ὕμνοις τιμήσωμεν.

*Καὶ νῦν, Θεοτοκίον. Θεοτόκε σὺ ἡ ἄμπελος.*

*Ἀπολυτίκιον τοῦ ἁγίου, ἦχος δ΄.*

Τὸν τύραννον ᾔσχυνας ἀνδρειοφρόνως στερρέ, εἴδωλα κατεπάτησας καὶ τὰ ἐν

www.tezaurliturgic.ro



βίῳ τερπνά, Μηνᾶ παμμακάριστε, εἴληφας τοὺς στεφάνους διὰ τοῦ μαρτυρίου, ἔτυχες κληρουχίαν, παρὰ τοῦ μόνου Δεσπότου· διὸ ἐν παρρησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

*Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.*

*Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α' στιχολογίαν, Κάθισμα, ἦχος δ'.**

*Ταχὺ προκατάλαβε.*

Ἀσκήσει ἐλάμπρυνε, τὸ ὀπτικὸν τῆς ψυχῆς, ἀκτίσει ἀθλήσεως, φωταγωγεῖ τοὺς πιστούς, Μηνᾶς ὁ θαυμάσιος, ὅθεν τὴν παναγίαν, καὶ σεπτὴν αὐτοῦ μνήμην, πίστει ἐπιτελοῦντες, ἐκβοήσωμεν πάντες, ὡς ἔχων παρρησίαν πρὸς Χριστόν, πρέσβευε μάρτυς σωθῆναι ἡμᾶς.

*Δόξα, τὸ αὐτό.*

*Καὶ νῦν, Θεοτοκίον.*

Παρθένε πανάχραντε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, Θεὸν ἡ κυήσασα, σὺν ἀθλοφόροις αὐτόν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τοῦ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσι σε κατὰ χρέος, μόνη πανύμνητε.

*Μετὰ τὴν β'. στιχολογίαν, Κάθισμα, ἦχος δ'.*

*Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως.*

Τοὺς τῶν τριβόλων σπαραγμοὺς ἐγκαρτερήσας, καὶ τοῦ πυρὸς τὴν χαλεπὴν τιμωρίαν, μαρτυρικῶς ἠγώνισε πανόλβιε, στέφος ἀμαράντινον ἐκ Θεοῦ ἐκομίσω, τούτῳ παριστάμενος, σὺν ἀγγέλων χορείαις, ὃν ἐκδυσώπει σώζεσθαι ἡμᾶς, Μηνᾶ παμμακάριστε, τοὺς πίστει ὑμνοῦντας σε.

*Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.*

Καταφυγὴ τῶν ἐν δεινοῖς ὑπαρχόντων, καὶ πρὸς Θεὸν καταλλαγὴ τῶν πταιόντων, ὑπεραγία Δέσποινα, περίζωσε ἡμᾶς, ἀπὸ πάσης περιστάσεως, καὶ κακίας ἀνθρώπων, καὶ τῆς φρικτῆς κολάσεως, καὶ παθῶν ἀτιμίας, τοὺς ἀδιστάκτῳ πίστει σε ἀεὶ προσκαλουμένους, μόνη πανύμνητε.

*Μετὰ τὸν Πολυέλαιον, Κάθισμα, ἦχος πλ. δ'.*

*Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί.*

Τὴν συγγένειαν πᾶσαν καταλιπών, τῷ Χριστῷ ἐκολλήθης μάρτυς Μηνᾶ, νηστείαις τὸ πρότερον, τὴν ψυχὴν καθηράμενος, ἀθλητικῶς τὸ δεύτερον, τὸν δρόμον

* Τὸ χειρόγραφον δὲν περιλαμβάνει Καθίσματα τοῦ ὄρθρου.

www.tezaurliturgic.ro



διήνυσας, τοῖς ἀγγέλοις ὤφθης συνόμιλος ἔνδοξε. Ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, καὶ πιστῶς ἑορτάζομεν, μελῳδοῦντες καὶ λέγοντες. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.*

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ οὐκ ἔχω τί πρᾶξαι, ἢ ποῦ καταφεύξασθαι, ἀλλ' οὐδ' ἄλλην ἐλπίδα πλήν σου Κόρη ἐπίσταμαι.* Φεῦ μοι ὁ ἀχρεῖος διὰ τοῦτο οἰκέτης, πρὸς σὲ τὴν Πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι· εἰς σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

*Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Προκείμενον, ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Πᾶσα πνοή. Εὐαγγέλιον: Ζήτει Ἀπριλίου κγ'. Ὁ Ν' ψαλμός. Δόξα: Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις.*

*Ἐλεῆμον ἐλέησόν με ὁ Θεός.*

*Ἰδιόμελον, ἦχος πλ. β'.*

Δεῦτε ἅπαντες πιστοί, συνελθόντες εὐφημήσωμεν, Μηνᾶν τὸν ἀήττητον μάρτυρα. Οὗτος γὰρ τὴν ἐπίγειον στρατείαν ἀπώσατο, τὸ ὅπλον τοῦ Σταυροῦ ἐνδυσάμενος, Χριστῷ ἠκολούθησε, καὶ τῆς ἀπεράντου βασιλείας τῶν οὐρανῶν ἠξιώθη ἀπολαβεῖν, ὡς πιστὸς δοῦλος Θεοῦ Παντοκράτορος. Διὸ αἰτοῦμεν σε ἅγιε, πρόφθασον ἐξελοῦ ἡμᾶς, ἀπὸ παντοίας ἀνάγκης τῶν ἐπεμβαινόντων πειρασμῶν, καὶ τῆς μελλούσης κρίσεως, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

*Τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Κύριε ἐλέησον ιβ'. Ἐλέει καὶ οἰκτιρμοῖς. Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου: Ὑγρὰν διοδεύσας, εἰς ϛ'. Εἶτα οἱ Κανόνες τοῦ ἁγίου οἱ δύο εἰς η'.**

*Ἕτερος Κανὼν τοῦ ἁγίου. Ὠδὴ α', ἦχος πλ. δ'.*

*Ἁρματηλάτην Φαραὼ ἐβύθισε.*

Σοῦ πᾶσα δόσις ἀγαθὴ φιλάνθρωπε, καὶ δῶρον τέλειον παρὰ πατρὸς ἔρχει, τοῦ τῶν φώτων Δέσποτα. Διὸ καθικετεύω σε, δός μοι λόγον σοφίας, δοξάσαι τὸν σὸν θεράποντα, ὃν αὐτὸς ἀξίως ἐδόξασε.

Ὡς παρρησίαν πρὸς Θεὸν κτησάμενος, Μηνᾶ μακάριε, τὸ ζοφερὸν ὄμμα τοῦ

---

* Τὸ χειρόγραφον ἔχει: ἐφίσταμαι.

* Ὁ πρῶτος Κανόνας τοῦ ἁγίου εἶναι ἀντιγραμμένος ἀπὸ τὸ Μηναῖον καὶ παραλείπεται ἐδῶ.

www.tezaurliturgic.ro



νοός μου κάθαρον, καὶ ὅλον μὲ ἀνάδειξον, φωταυγῆ καὶ φωσφόρον, ὅπως ἰσχύσω ὑμνῆσαί σου, τὰ τῶν σῶν ἀγώνων παλαίσματα.

Τῶν παρανόμων βασιλέων ἔναντι, μάρτυς πολύαθλε παρεστηκὼς ἔκραξας,* τῆς Χριστοῦ μου πίστεως χωρίσαι οὐ δύνανται, ἀλγεινῶν ἐπιτάσεις, οὐ πῦρ, οὐ ξίφος, οὐ μάστιγες, ἀλλ' οὐδὲ λιμὸς οὐδὲ θάνατος.

*Θεοτοκίον.*

Δημιουργεῖται βουληθεὶς ἐν μήτρᾳ σου, ὁ τοῦ Ἀδὰμ πλαστουργός, καὶ ὁ δρακὶ φέρων Θεοτόκε σύμπασαν [τὴν γῆν]**, ταῖς σαῖς ἀγκάλαις φέρεται, ὢ φρικτοῦ μυστηρίου, καὶ νήπιος ἀναδέδεκται, πάντων τῶν αἰώνων ὁ Κύριος.

*Ὠδὴ γ'.*

*Ἄλλος, Ὁ στερεώσας κατ' ἀρχάς.*

Τῶν ἐπικαίρων καὶ φθαρτῶν οὐδὲν προέκρινας ὅλως, τῆς στοργῆς τῆς τοῦ Κυρίου σου μάρτυς, ἀλλ' ἐπέστης ἀνδρικῶς αὐτομολῶν πρὸς στάδιον, κράζων τοῖς σὲ ζητοῦσιν. Ἐγνώσθην ὄντως καὶ πάρειμι.

Τοὺς τῶν βασάνων σπαραγμοὺς καὶ τριβόλων τὰς αἰκίσεις, καὶ πυρὸς τὴν ἐκκατάκαυσιν, μάρτυς, οὐκ ἠσθάνου ἀπειλήν, ἀλλ' ἀνδρικῶς ἐκραύγαζες. Εἷς γὰρ Θεὸς ὑπάρχει, ὁ ὑπ' ἐμοῦ κηρυττόμενος.

Τὴν κρατερὰν ὑπονομὴν οὐ φέρων ὁ δολιόφρων, κατεψήφισέ σοι θάνατον μάρτυς, τὴν τιμίαν κεφαλὴν ἐκτέμνει ὁ παράνομος, σοῦ κράζοντος παρρησίᾳ, ἐμοὶ θανεῖν κέρδος ἄριστον.

*Θεοτοκίον.*

Μόνη πασῶν τῶν γενεῶν σὺ προωρίσθης Παρθένε, εἰς κατοίκησιν τοῦ κτίστου τῶν ὅλων· ὃν γὰρ γῆ καὶ οὐρανὸς χωρῆσαι οὐ δύνανται, ἐν σῇ γαστρὶ χωρεῖται, ὁ κατὰ φύσιν ἀχώρητος.

[Τὸ χειρόγραφον μεταφέρει ἐδῶ τὸ σχετικὸν Κάθισμα τοῦ Μηναίου καὶ προσθέτει καὶ τὸ κατωτέρω:]

*Δόξα καὶ νῦν, Θεοτοκίον ὅμοιον.*

Τὴν βασίλισσαν πάντες δεῦτε πιστοί, τὴν μητέρα τοῦ πάντων δημιουργοῦ, ἐν φωναῖς μεγαλύνωμεν, καὶ ὑμνοῦντες βοήσωμεν, ἡ τῆς χαρᾶς αἰτία Παρθένε πανύμνητε, τοὺς τιμῶντάς σε σῶζε καὶ σκέπε πρεσβείαις σου, ἐκ πειρασμῶν παντοίων καὶ νόσων καὶ θλίψεων. Ἔχεις γὰρ ὡς Μήτηρ Θεοῦ παρρησίαν, οἰκτείρειν, βραβεύειν τε,

---

* Τὸ χειρόγραφον ἔχει: κράζων.

** Λείπει ἡ φράση ἀπὸ τὸ χειρόγραφο.

www.tezaurliturgic.ro



νοσημάτων τὴν ἴασιν. Διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τοῦ δοθῆναι συγγνώμην τοῖς δούλοις σου.

*Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.*

Ἵππῳ ἐμβάς, Μηνᾶ ἐρευνόμενος, τῷ ἐμπόρῳ ἔγνως τὴν ἀναίρεσιν, καὶ μεληδὸν τοῦτον ἀνευρών, ἐπισυναρμώσας ὥσπερ ἐξ ὕπνου ἀνέστησας, βοῶντα εὐχαρίστως τῷ Δεσπότῃ τῶν ὅλων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τῷ πανδοχεῖ πλήξας ὃ ἔδει μακάριε, καὶ νουθετήσας ὡς πατὴρ φιλόστοργος, λέξας αὐτῷ μὴ παρανομεῖν, τοὐντεῦθεν ὁδηγησάμενος, βοῶντα καθ' ἑκάστην, ἐν φωναῖς ἀσιγήτοις, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὡς δυνατὸς θείῳ γενόμενος πνεύματι, τῶν τριβόλων φέρεις τὸ ἐπώδυνον, καρτερικῶς μάρτυς ἐκτομήν, καὶ τῶν μελῶν σου κατάφλεξιν, ὁδηγούμενος πρὸς θείας θεωρίας, ἐπτερώθης κραυγάζων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

*Θεοτοκίον.*

Δαυιτικῆς ἐκ βασιλίδος ἐβλάστησας συγγενείας, τὸν παμβασιλεύοντα πρὸ αἰώνων ἐκ τοῦ πατρὸς Λόγον, ἀπορρήτως καὶ ὑπὲρ νοῦν ἀναλάμψαντα, ἐγέννησας Παρθένε, Θεοτόκον διὸ σὲ θεοφρόνως πιστοὶ ὀνομάζομεν.

*Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Τεταμένως ὁ μάρτυς, καὶ τῶν μαστίγων πληγαῖς συνεχόμενος, τῆς ψυχῆς ἐδήλου τὸ γενναιότατον, Μηνᾶς ὁ θαυμάσιος. Στεφηφόρος ὅθεν ἀναδειχθείς, σὺν παρρησίᾳ τῷ βασιλεῖ τῶν αἰώνων παρίσταται.

Τῶν θαυμάτων τὰ πλήθη, τὶς τῶν γηγενῶν οὐ θαυμάσει μακάριε; Παραδόξως πάντων, τὰς αἰτήσεις πληροῖς ἀξιάγαστε, καὶ παθῶν παντοίων, ἐκ τῶν σωμάτων ἀπελαύνεις, τῶν πιστῶς προστρεχόντων τῇ σκέπῃ σου.

*Θεοτοκίον.*

Ἀπείρανδρε Παρθένε, τὸν ἀπεριόριστον φύσει θεότητος, ἀνδρωθέντα Λόγον, δι' ἡμᾶς τοὺς ἀνθρώπους συνέλαβες, ἐξ αἱμάτων Κόρη παρθενικῶν διπλασθέντα, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως.

*Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Μακάριος ἀληθῶς ἐγένου Μηνᾶ μακάριε, κεκαθαρμένῳ νοΐ, πιεῖν ἐπεθύμησας Χριστοῦ τὸ ποτήριον, καὶ τῆς δόξης τούτου, ἀπολαύεις εὐφραινόμενος.

Μαρτύρων μάρτυς Μηνᾶ, τῶν ἀθλοφόρων τὸ καύχημα, πάρεσο μέσον ἡμῶν, καὶ τὰς προσευχὰς ἡμῶν Κυρίῳ προσάγαγε, ὡς πιστὸς ἱκέτης καὶ προστάτης ἀκαταίσχυντος.

Φιλομαρτύρων χοροὶ ἀθροίσθητε, εὐφραινόμενοι ἐπὶ τῇ μνήμῃ τοῦ ἀθλητοῦ

www.tezaurliturgic.ro



Μηνᾶ τοῦ θεόφρονος, ἐγκωμίοις ᾄσμασι καταστέψαι τοῦτον, ὡς πιστὸν Χριστοῦ θεράποντα.

*Θεοτοκίον.*

Συνέλαβες ἐν γαστρὶ τὸν προαιώνιον ἄχραντε, καὶ τέτοκας ἐν σαρκὶ τὸν φύσει ἀπρόσιτον, καὶ γάλα ἐπότισας, τὸν τροφέα πάντων, Θεομήτωρ ἀπειρόγαμε.

*Κοντάκιον τοῦ ἁγίου, ἦχος πλ. δ΄.*
*Τῇ Ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.*

Τὸν στρατιώτην τοῦ Χριστοῦ Μηνᾶν τὸν ἔνδοξον, ὡς λυτρωθέντα ὑπ' αὐτοῦ νόσων καὶ θλίψεων, ἀνυμνήσωμεν συμφώνως οἱ ἐν ἀνάγκαις, ὡς θερμότατον προστάτην τοῖς ἐν θλίψεσι, καὶ παντοίαις περιστάσεσι λυτρούμενον, ἀνακράζοντες χαίροις μάρτυς πολύαθλε.

*Ὁ Οἶκος.*

Ἄγγελος ἐξ ἀνθρώπων γεγονὸς στεφηφόρε Μηνᾶ, τῶν ἀθλοφόρων τὸ κλέος, καὶ σὺν τοῖς ἀσωμάτοις χοροῖς, ἁμιλλόμενόν σε θεωρῶν ἅγιε, ἐξίσταμαι θαμβούμενος καὶ βοῶ πρὸς σὲ ταῦτα:

Χαῖρε σοφίας Θεοῦ δοχεῖον.
Χαῖρε θαυμάτων αὐτοῦ ταμεῖον.
Χαῖρε πρεσβευτὰ πρὸς Θεὸν ἀκαταίσχυντε.
Χαῖρε χορευτὰ τῶν ἀγγέλων ὁμόσκηνε.
Χαῖρε μέγα καταφύγιον τοῖς ἐν θλίψεσι πολλοῖς.
Χαῖρε ὅτι τὸ πάθος τοῦ Κυρίου ὑπέστης.
Χαῖρε ὅτι προθύμως δι' Αὐτὸν σφαγιάζει.
Χαῖρε παντὸς ἀσθενοῦς θεραπεία.
Χαῖρε παντὸς εὐσεβοῦς προστασία.
Χαῖρε δι' οὗ πᾶσα νόσος ἰᾶται.
Χαῖρε δι' οὗ ἡ Τριὰς ἀνυμνεῖται.
Χαῖρε μάρτυς πολύαθλε.

Τῷ αὐτῷ μηνὶ ια΄ τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ Κοτυαείῳ.

***Τῷ αὐτῷ μηνὶ ια΄ τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ Κοτυαείῳ.***

Στίχοι: Αἴγυπτος ὄντως, εἰ τέκῃ, τίκτει μέγα.
τμηθεὶς ἀληθὲς ταῦτα Μηνᾶς δεικνύει.
Μηνᾶς ἑνδεκάτῃ ἔτλη ξίφος γηθόσυνον.

www.tezaurliturgic.ro



*Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Βίκτωρος.*

Στίχοι: Οὐ δειλιῶν ἦν, οὐδὲ Βίκτωρ πρὸς ξίφος.
Πᾶσαν μακρὰν που καρδίαν θεὶς δειλίαν.

*Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Στεφανίδος.*

Στίχοι: Δένδροις στεφανὶς προσδεθεῖσα φοινίκων,
τῶν μαρτύρων ἤνθησεν ὡς φοίνιξ μέσον.

*Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοδώρου, Ἡγουμένου τοῦ Στουδίου.*

Στίχοι: Πολλὰς ἀμοιβὰς Θεόδωρε τρισμάκαρ.
Βίου μεταστὰς ὡς βιοῦς εὖ προσδόκα.

*Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Βικεντίου διακόνου.*

Στίχοι: Βληθεὶς ὁ Βικέντιος ἐν φρουρᾷ φέρει,
λυθεὶς δὲ φρουρᾶς σαρκικῆς ἄνω τρέχει.

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.*

Τριβόλων τὴν κάκωσιν, ὑπέστης χαίρων Μηνᾶ μακάριε, ὡς εὐήκοος δοῦλος τοῦ κλίναντός σου οὓς εὐμενέστατον, καὶ τὰς εὐχὰς πληρώσαντος, ψάλλοντος. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ραντίσματι ἅγιε, σεπτῶν αἱμάτων πλάνῃ, τοὺς ἄνθρακας κατασβέσας, καὶ δρόσον ἡμῖν εὐθέως ἐκβλύζεις τῆς χάριτος, καὶ ἰαμάτων προχέεις τὰ νάματα, τοῖς εὐφημοῦσι σε νῦν Μηνᾶ μακάριε.

Τεινόμενος ἅγιε, καὶ τοῖς βασάνοις καταικιζόμενος, σταθερᾷ διανοίᾳ, τοῖς παρανόμοις ἀντικατέστηκας, καὶ νικηφόρος γενόμενος ἔψαλλες, ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Νομίμων τῆς φύσεως, παρθενομήτωρ ἁγνὴ γεγένηκας, τὸν δεσπόζοντα πάντων τῶν ὁρωμένων καὶ νοουμένων Ἁγνή, ὃν ἀνυμνοῦμεν συμφώνως κραυγάζοντες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

*Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Τῷ βαλαντίῳ ἅγιε, τῷ Ἑβραίῳ ἐγνώρισας, κρύψαι βουληθέντα, ὅτε τούτου φίλτατος, ὁρῶντες ἐξέστησαν, τῷ γενομένῳ θαύματι· ὅθεν ἀμφοτέροις τὴν διόρθωσιν νέμεις, ὁ μὲν ἀναγεννήσει δι᾽ ὕδατος τοῦ θείου, ὁ δὲ ἐλευθερίαν, καὶ τῶν πταισμάτων λύσιν.

www.tezaurliturgic.ro



Μέγας εἶ σὺ φιλάνθρωπε, καὶ μεγάλα τὰ ἔργα σου, τὸ τῶν φιλεόρτων ἀνεβόα σύστημα, ὁρῶντα συρόμενον ἐλεεινῶς ὡς θέαμα, ἵππον ἐπίβατον κατ' αὐτοῦ ἀτακτοῦντα, βοῶν ἀνεπαισχύντως, τὴν παράνομον μίξιν, δόξαντα σὺν θρήνοις, Μηνᾶν τὸν ἀθλοφόρον.

Τὴν τῶν θαυμάτων δύναμιν, ἐκ Θεοῦ κομισάμενος, οὗπερ καὶ τὸ πάθος τὸ στερρὸν ὑπήνεγκας, Μηνᾶ ἀξιάγαστε, καὶ φυσικὴν συγγένειαν πᾶσαν ἐγκαταλείψας, πρὸς Αὐτὸν ἐκολλήθης, βοῶν ἀκαταπαύστως, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τὸν αἰῶνα.

*Θεοτοκίον.*

Ὑπὲρ ἡμῶν δυσώπησον, τὸν Υἱόν σου Πανάχραντε, τῶν εἰλικρινῶς καὶ καθαρῶς βοώντων σοι, καὶ σὲ Θεομήτορα ὁμολογούντων Πάναγνε, τῶν ἁμαρτημάτων αἰτουμένη τὴν λύσιν, τυχεῖν τε σωτηρίας, τοὺς πιστῶς μελῳδοῦντας, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.*

Μετέβης εἰς τὰς ἄνω θείας σκηνάς, καὶ μονὰς αἰωνίους κατῴκησας, καὶ στρατιὰς νῦν συνεορτάζεις ἀγγελικάς, σὺν ἀθλοφόρων τάγμασι, μάρτυς ἀθλοφόρε Χριστοῦ Μηνᾶ, μεθ' ὧν καὶ συναγάλλει, τοῖς πίστει σὲ τιμῶσι, θείαν εἰρήνην ἐξαιτούμενος.

Ναμάτων ἀντιδόσεις ἀπολαβών, ὧν ἐν γῇ τὸ μαρτύριον ἤνυσας, διακαεῖ ἔρωτι καὶ πόθῳ πρὸς τὸν Θεόν, νῦν ἐκτενῶς ἱκέτευε, μάρτυς ἀθλοφόρε, τὸν ἱλασμὸν δοθῆναι, τοῖς ἐν πίστει τὴν μνήμην σου τελοῦσι, τὴν φωτοφόρον καὶ πανέορτον.

Τῶν πόνων καὶ ἱδρώτων σου οἱ κρουνοί, ἁμαρτίας πικρίαν δροσίζουσιν, ἡ δὲ σορὸς βρύει, ἰαμάτων τοὺς ποταμούς, καὶ ἀποπλύνει πάντοτε, πάθη καὶ νοήματα χαλεπά, εἰς δόξαν τοῦ Κυρίου, Μηνᾶ μαρτύρων δόξα, τοῦ ἐπαξίως σὲ δοξάσαντος.

*Θεοτοκίον.*

Ὦ μῆτερ τοῦ τῶν ἁπάντων δημιουργοῦ, μητρικῇ παρρησίᾳ δυσώπησον τὸν σὸν Υἱόν, ῥῦσαι δυναστείας Ἀγαρηνῶν, τοὺς αἰχμαλώτους δούλους σου, καὶ συκοφαντίας τῶν πονηρῶν ἀνθρώπων κατάργησον, εἰρήνην τε βράβευσον καὶ σωτηρίαν τοῖς ὑμνοῦσι σε.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Τῷ θρόνῳ παριστάμενος, Θεοῦ τοῦ Παντοκράτορος, Μηνᾶ Χριστοῦ ἀθλοφόρε, σὺν ἀσωμάτων χορείαις, ἀδιαλείπτως μέμνησο, τῶν ἐκτελούντων ἅγιε, τὴν φωτοφόραν σου μνήμην, καὶ σὲ τιμώντων ἐκ πόθου, πάσης ἀνάγκης ῥυσθῆναι.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Τὸ πᾶσα πνοή. Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος δ'.*

*Ἔδωκας σημείωσιν.*

Μηνᾶ παμμακάριστε, τῶν ἀθλητῶν ἐγκαλλώπισμα, τῶν θερμῶς εὐφημούντων σε,

www.tezaurliturgic.ro



προστάτης γενόμενος, ἐκ παντὸς κινδύνου, πάσης ἀσθενείας, ἐπιδρομὰς Ἀγαρηνῶν, καὶ τυραννίδος τάχος διάσωσον, ὡς μάρτυς γὰρ ἀήττητος, καὶ πρεσβευτὴς ἀκαταίσχυντος, παρρησίαν ὡς κέκτησαι, πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν.

*Ὅμοιον.*

Δρόμον ἐκτελέσαντα, σὲ καὶ τὴν πίστιν τηρήσαντα, ἀθλοφόρε μακάριε, Χριστὸς ἐστεφάνωσε, τῷ λαμπρῷ στεφάνῳ, τῆς δικαιούνης καὶ κατελάμπρυνε, τὴν σὴν ὁμολογίαν, Μηνᾶ μακάριε· διὸ τὴν ἐπουράνιον, νῦν βασιλείαν δεξάμενος, τὸν Σωτῆρα δυσώπησον, ὑπὲρ τῶν ἀνυμνούντων σε.

*Ὅμοιον.*

Ἄνθος ὡραιότατον, ἐν τῷ λειμῶνι ἐξήνθησας, σὺ Μηνᾶ πανσεβάσμιε, τοῦ πνεύματος πέμποντα, θείαν εὐωδίαν, καὶ τὰς διανοίας, εὐωδιάζοντα πιστῶς, τῶν ἐτησίως μνήμην τιμώντων σου, τοὺς ἄθλους τὰ παλαίσματα, τὴν μακαρίαν τελείωσιν, δι᾽ ἧς φῶς τὸ ἀνέσπερον ἐκληρώσω γηθόμενος.

*Ὅμοιον.*

Τριβόλων κεντήματα, καὶ τῶν βαρβάρων σπαράγματα, καὶ πυρὸς τὴν κατάφλεξιν, τῆς κάρας ἀφαίρεσιν, καὶ τοὺς δριμυτάτους, ὑπήνεγκας πόνους, καὶ προσετέθης τῷ χορῷ, τῶν ἀθλοφόρων Μηνᾶ πολύαθλε, διό σου τὴν χαρμόσυνον, ἐπιτελοῦμεν πανήγυριν, τῶν μαρτύρων συνόμιλε, καὶ ἀγγέλων συμμέτοχε.

*Δόξα, ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι τὸν ὕμνον, καὶ κροτήσωμεν ἐν ᾄσμασι, καὶ τερπόμενοι μελῳδήσωμεν τῇ χαρμοσύνῳ πανηγύρει, τοῦ ἀθλοφόρου Μηνᾶ. Ἀθληταὶ καὶ φιλομάρτυρες συνέλθετε, καὶ τὸν ἀθλοφόρον κροτήσωμεν ἐν ὕμνοις, πανδοχεῖ ἐλέγξαντα κακουργίαν, γενομένην πρίν, καὶ ἐμπόρῳ φιλανθρώπως ἀναστήσαντι. Μαρτύρων ὦ φιλέορτοι, τὸν τοῦ Χριστοῦ ὁπλίτην, συνελθόντες εὐφημήσωμεν, οἱ ἐν κινδύνοις τὸν λυτρωτήν, οἱ ἐν πενίᾳ τὸν ὄλβον, οἱ ἐν θλίψεσι τὴν χαρμονήν, οἱ ἁμαρτωλοὶ τὸν παρακλήτορα, οἱ ἐν ἀσθενείαις τὴν ῥῶσιν, οἱ ἐν πάθεσι τὴν θεραπείαν, τὸν πάντας τοὺς δεομένους εἰσακούοντα, μέγιστον στρατιώτην ἐγκωμιάζοντες οὕτως, εἴπωμεν. Ἀθλητῶν φωστὴρ Μηνᾶ παμφαέστατε, ἐξελοῦ ἡμᾶς ἐκ παντοίας ἀνάγκης, καὶ σῶσον τοὺς δούλους σου ταῖς ἱκεσίαις σου.

*Καὶ νῦν, Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε Παρθένε.*

*Δοξολογία μεγάλη. Τὸ τροπάριον τοῦ ἁγίου καὶ ἀπόλυσις.*

*Εἰς τὴν Λειτουργίαν τὰ τυπικά, καὶ ἐκ τῶν Κανόνων τοῦ ἁγίου ᾠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει,* καὶ ᾠδὴ ϛ΄ Ἱλάσθητί μοι Σωτήρ.*

* Ἀπὸ τὸ Μηναῖον.

www.tezaurliturgic.ro



*Εἴσοδος: Τὸ τροπάριον καὶ τὸ Κοντάκιον τοῦ ἁγίου. Ὁ Ἀπόστολος, ζήτει Κυριακῇ ιε΄. Ἀδελφοὶ ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι. Εὐαγγέλιον, ζήτει Ἀπριλίῳ κγ΄. Τῷ καιρῷ ἐκείνῳ — Ταῦτα ἐντέλλομαι ὑμῖν. Κοινωνικόν, Εἰς μνημόσυνον αἰώνιον.*

*Μεγαλυνάριον εἰς τὸν ἅγιον Μηνᾶν.*

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, ὑπὲρ τοῦ σοῦ ἱκέτου, Ἀβερκίου ἁμαρτωλοῦ, καὶ παράσχου λύσιν πολλῶν ἁμαρτημάτων, ρυσθῆναι τῆς μελλούσης φρικτῆς κολάσεως.

Ὥσπερ ξένοι χαίροντες ἰδεῖν πατρίδα
καὶ οἱ θαλαττεύοντες ἰδεῖν λιμένα
καὶ οἱ πραγματεύοντες ἰδεῖν τὸ κέρδος,
οὕτω καὶ οἱ γράφοντες ἰδεῖν τῆς βίβλου τέλος.

Ἔρρωσθε καὶ ἡμῶν μέμνησθε· εἰ δέ τι σφαλερὸν εἴη ἐνταῦθα ὑμεῖς οἱ μαθημαθητικοὶ καὶ ἔμπειρα τῆς μαθήσεως ἐπανορθώσατε αὐτό· ἀμαθοῦς γὰρ πάθος ἐστὶ τὸ σφάλλειν.

Ἐγράφθην ἡ παροῦσα ἀκολουθία τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ ἐν τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ ἐν μηνὴ ὀκτοβρίῳ διὰ τὴν ἱερὰν ἐκκησίαν τοῦ χωρίου μητζερῷ, διὰ ἐξόδου δὲ γεωργίου υἱοῦ Χ΄΄ Θωμᾶ ἀπὸ τὸ αὐτὸν χωρίον, δι᾽ ἐπιμελίας μὲν Ἀβερκίου ἱεροδιακόνου τῆς Μονῆς Μαχαιράδος, τοῦ ἐκ κόμης 20.1.30.1.2.1.200.70.400*.—καὶ οἱ ἐντυγχάνοντες εὔχεσθε ὑπὲρ αὐτῶν.

ΤΕΛΟΣ

* 20 = Κ, 1 = α, 30 = λ. 1 = α, 2 = β, 1 = α, 200 = σ, 70 = ο, 400 = υ = Καλαβασοῦ.